λοτρίας καταισχύνουσι γυναῖκας. Ἐγὼ γὰρ νῦν καὶ περὶ τοῦ σώματος, καὶ περὶ τῶν χρημάτων, καὶ περὶ τῶν ἄλλων ἁπάντων κινδυνεύω, ὅτι τοῖς τῆς πόλεως νόμοις ἐπειθόμην.

## Β΄. Ἐπιτάφιος τοῖς Κορινθίων Βοηθοῖς.

### Ὑπόθεσις.

Ὁ Κορινθιακὸς πόλεμος (Διόδ. Σικελ. βιβλ. ΙΔ΄, κεφ. πς΄.) ἐν τῇ Κορινθίων χώρᾳ ὑπὸ Ἀθηναίων, Θηβαίων, Ἀργείων, καὶ Κορινθίων πρὸς Λακεδαιμονίους καὶ τοὺς συμμάχους αὐτῶν γενόμενος, πρῶτον μὲν ἔσχε τὴν ἀρχὴν ὑπὸ φθόνου, εὐδοκιμοῦντος κατὰ τὴν Ἀσίαν Ἀγησιλάου καὶ Λακεδαιμονίων· καὶ τῶν Περσῶν παροξυνόντων, καὶ χρήματι διαφθειρόντων, ὅπως Ἀγησίλαος ἀναγκασθῇ τὴν Ἀσίαν καταλιπεῖν· ἔπειτα δὲ ἐπηκολούθησεν ἐκ τούτου, Κορίνθιοι γάρ τινες τόν τε φόνον πολλῶν πολιτῶν ἰδίων, ἅτε τῆς εἰρήνης φίλων, ὑπόπτων Ἀργείοις, καὶ ὅσοι τοῦ πολέμου αἴτιοι ἐγένοντο, καὶ τὴν τῶν συμμάχων τυραννίδα, μὴ φέροντες, πρὸς Λακεδαιμονίους μετέστησαν· κἀκ τούτου μᾶλλον ἐξήφθη ὁ πόλεμος. Ἡγοῦντο δὲ ἐν τῷ πολέμῳ τῷδε Ἀθηναίων μὲν Καλλίας, Πολύστρατος, Χαβρίας, Κόνων, ὧν πρῶτος Ἰφικράτης. Λακεδαιμονίων δὲ Ἀγησίλαος· ἐγένετο κατὰ τὴν ϞϚ΄ ὀλυμπιάδα πρὸ τοῦ ἡμετέρου ἔτους 393. δι' Ἀνταλκίδου, ὅτε ἡ ἀπατηλὴ εἰρήνη ἐκυρώθη μετὰ Ἀρταξέρξου τοῦ Μνήμονος. Ξενοφ. Ἑλλην. Δ΄. κεφ. η΄. Μετὰ δὲ τὴν διάφορον ταύτην μάχην εἶπε τὸν λόγον· ὑπὲρ ἑκατέρων Λυσίας κατὰ τὸ Ἀθηναίων ἔτος καὶ τοὺς οἱαδήποτε μάχῃ πεσόντας τῷ λόγῳ τούτῳ ἐνεκόμισε· καὶ τέλος εἰς τοὺς τῶν Κορινθίων βοηθοὺς καταντήσας, αὐτούς τε ὡς τὸ εἰκὸς ἐπῄνεσε, καὶ τοὺς συγγενεῖς παρηγόρησε.

§ 1. Εἰ μὲν ἡγούμην οἷόν τε εἶναι, ὦ παρόντες, ἐπὶ τῷδε τῷ τάφῳ,[2] λόγῳ δηλῶσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετὴν, ἐμεμψάμην ἂν τοῖς ἐπαγγείλασιν[3] ἐπ' αὐτοῖς ἐξ ὀλίγων ἡμερῶν λέγειν· ἐπειδὴ δὲ τοῖς πᾶσιν ἀνθρώποις ὁ πᾶς χρόνος[4] οὐχ ἱκανὸς λόγον ἴσον παρασκευάσαι τοῖς τούτων ἔργοις, διὰ τοῦτο καὶ ἡ πόλις μοι δοκεῖ, προνοουμένη τῶν ἐνθάδε λεγόντων, ἐξ ὀλίγου τὴν πρόσταξιν[5] ποιεῖσθαι, ἡγουμένη οὕτως ἂν μάλιστα συγγνώμης αὐτοὺς παρὰ τῶν ἀκουσάντων τυγχάνειν. Ὅμως δὲ[6] ὁ μὲν λόγος μοι περὶ τούτων,[7] ὁ δ' ἀγὼν οὐ πρὸς τὰ τούτων ἔργα, ἀλλὰ πρὸς τοὺς πρότερον ἐπ' αὐτοῖς εἰρηκότας. Τοσαύτην γὰρ ἀφθονίαν παρεσκεύασεν ἡ τούτων ἀρετὴ καὶ τοῖς ποιεῖν δυναμέ-

---

§ 1. 2. Ἐπὶ τῷδε τῷ τάφῳ.) Σημειούσθω ὅτι ἐν τῷ Κεραμικῷ ἔξω τοῦ ἄστεος τῶν Ἀθηνῶν, ἔνθα ἦσαν οἱ τάφοι πάντων τῶν ἐν πολέμῳ θανόντων, πλὴν τῶν ἐν Μαραθῶνι πεσόντων, ἐθεῶντο. — 3. Τοῖς ἐπαγγείλασιν.) Ὅσοι δηλονότι ἐκέλευσαν μὴ ἐπὶ πολὺν χρόνον δεῖν συντιθέναι τὸν λόγον, ὃς ὑπὲρ αὐτῶν λεχθήσεται. — 4. Τοῖς πᾶσιν ἀνθρώποις ὁ πᾶς χρόνος.) Τὸ Πᾶς προσδιορισμὸν δηλοῦν ἀνάρθρως λέγεται· ἐνάρθρως δὲ λεγόμενον ἐμφαντικώτερόν τε ἐστὶ, καὶ ἐπιτείνει τὸν προσδιορισμὸν ὡς ἐπίθετον λαμβανόμενον. — 5. Τὴν πρόσταξιν.) Διὰ τούτου σαφὲς γίνεται ὅτι καὶ τὸ Ἐπαγγέλλειν τὸ προστάξειν σημαίνει· ὃ γὰρ διὰ τὸ, ἐπαγγείλασιν εἴρηκε, τοῦτο διὰ τὸ, πρόσταξιν, ἐπεξηγήσατο. — 6. Ὅμως δέ.) Μεταβατικῶς οἱ σύνδεσμοι. — 7. Περὶ

νοις[8] καὶ τοῖς εἰπεῖν βουληθεῖσιν,[9] ὥστε καλὰ μὲν πολλὰ τοῖς προτέροις περὶ αὐτῶν εἰρῆσθαι, πολλὰ δὲ καὶ ἐκείνοις παραλελεῖφθαι· ἱκανὰ δὲ καὶ τοῖς ἐπιγιγνομένοις ἐξεῖναι εἰπεῖν. Οὔτε γὰρ γῆς ἄπειροι[10] οὔτε θαλάττης οὐδεμιᾶς, πανταχοῦ δὲ καὶ παρὰ πᾶσιν ἀνθρώποις, οἱ τὰ αὑτῶν πενθοῦντες κακὰ, τὰς τούτων ἀρετὰς ὑμνοῦσι. Πρῶτον μὲν οὖν τοὺς παλαιοὺς κινδύνους τῶν προγόνων δίειμι, μνήμην παρὰ τῆς φήμης[11] λαβών. Ἄξιον γὰρ πᾶσιν ἀνθρώποις[12] κἀκείνων[13] μεμνῆσθαι, ὑμνοῦντας μὲν[14] ἐν ταῖς ᾠδαῖς, λέγοντας δ' ἐν ταῖς τῶν ἀγαθῶν γνώμαις, τιμῶντας δ' ἐν τοῖς καιροῖς τοῖς τοιούτοις, παιδεύοντας δ' ἐν τοῖς τῶν τεθνεώτων ἔργοις τοὺς ζῶντας.

§ 2. Ἀμαζόνες[2] μὲν γὰρ, Ἄρεος μὲν τὸ παλαιὸν ἦσαν θυγατέρες, οἰκοῦσαι δὲ παρὰ τὸν Θερμώδοντα ποταμὸν, μόναι μὲν ὡπλισμέναι σιδήρῳ τῶν περὶ αὐτὰς, πρῶται δὲ τῶν πάντων ἐφ' ἵππους ἀναβᾶσαι,[3] οἷς[4] ἀνελπίστως, δι' ἀπειρίαν τῶν ἐναντίων, ᾕρουν μὲν τοὺς φεύγοντας, ἀπέλειπον δὲ τοὺς διώκοντας· ἐνομίζοντο [δὲ] διὰ τὴν εὐψυχίαν μᾶλλον ἄνδρες, ἢ διὰ τὴν φύσιν γυναῖκες. Πλέον γὰρ ἐδόκουν τῶν ἀνδρῶν ταῖς ψυχαῖς διαφέρειν, ἢ ταῖς ἰδέαις[5] ἐλλείπειν.. Ἄρχουσαι δὲ πολλῶν ἐθνῶν, καὶ ἔργῳ μὲν[6]

---

τούτων) Τῶν ἐνθάδε κειμένων ἐστίν. — 8. Τοῖς ποιεῖν δυναμένοις.) Τοῖς ποιηταῖς δηλ. — 9. Τοῖς εἰπεῖν βουληθεῖσιν.) Τοῖς ῥήτορσι καὶ λογογράφοις· τὰ αὐτὰ δὲ εὑρήσεις καὶ ἐν Πανηγυρικῷ κεφαλ. 50. Ἰσοκράτους. — 10. Οὔτε γὰρ γῆς ἄπειροι.) Ἦσαν γὰρ γνωστοὶ καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν· καὶ πανταχοῦ, καὶ παρὰ πᾶσιν ἀνθρώποις ὑμνοῦσι τὰς τούτων ἀρετὰς, ὅσοι τὰ ἑαυτῶν πενθοῦσι κακά· τοὺς υἱοὺς δηλονότι, τοὺς ἀδελφοὺς, τοὺς ἄνδρας ἐν πολέμῳ ἀποθανόντας κλαίοντες. — 11. Παρὰ τῆς φήμης.) Οὐ γὰρ ἐξ ἱστορίας τὰ ἀρχαιότατα, ἀλλ' εἰς τὴν μυθολογίαν ἀναγόμενα, ἐκ φήμης γινώσκεται, ἀναφερόμενα ὑπὸ τῶν μὴ παρόντων ὅτε ἐπράττετο ἐξ ἀλλοτρίας δηλονότι πίστεως καὶ μνημείων τινῶν γράμμασιν ἐγκεχαραγμένων. — 12. Ἀνθρώποις.) Τοῖς μεταγενεστέροις δηλονότι. — 13. Κἀκείνων.) Τῶν προγόνων τῶν Ἀθηναίων. — 14. Ὑμνοῦντας μέν.) Ἄξιον γὰρ αὐτῶν μεμνῆσθαι καὶ ὑμνεῖν μὲν αὐτοὺς ἐν ταῖς ᾠδαῖς, λέγειν δὲ περὶ αὐτῶν, ἐν ταῖς γνώμαις τῶν ἀγαθῶν ἀνδρῶν, καὶ τιμᾶν αὐτοὺς ἐν τοῖς τοιούτοις καιροῖς, καθ' οὓς ὥρισται τῶν ἐν μάχῃ πεσόντων μνημονεύειν, καὶ τιμᾶν αὐτούς.

§ 2. 2. Ἀμαζόνες.) Καὶ Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ κεφ. 19. Ἄρεως θυγατέρας τὰς Ἀμαζόνας λέγει. Διόδωρος δὲ ὁ Σικελ. βιβλ. Α΄. μίαν παραδίδωσι τὴν καὶ Λαμπηδὼ Ἄρεως θυγατέρα· παρὰ δὲ Ἰουστιν. Α΄, νή. δύο βασίλισσαι Μαρπησία, καὶ Λαμπηδὼ Ἄρεως θυγατέρας ἑαυτὰς ἐκάλεσαν· αὕτη δὲ ἡ διαφωνία ἐν τοῖς μύθοις οὐ πάνυ τι σπανία, εἰμή τις εἴποι, ὡς Λυσίας ἤτοι ἑπόμενος τοῖς πατρίοις συγγραφεῦσιν, καὶ τῇ οἰκείᾳ αὐτῶν φήμῃ, ἢ ἐχρήσατο τῷ πράγματι σεμνῦναι βουλόμενος, καὶ ἐπὶ μέγα ἀγαγεῖν τὴν Ἀθηναίων δόξαν· σεμνύνει δὲ τὰ τῶν Ἀμαζόνων ὁ ῥήτωρ, ὑπερεπαινῶν αὐτὰς, ἵνα τοιαύτας νικήσαντες Ἀθηναῖοι ἐνδοξότεροι φανῶσιν. — 3. Ἀναβᾶσαι.) Παλαίφατος δὲ ἐν τοῖς Ἀπίστοις κεφ. ά. τοὺς Κενταύρους λέγει πρώτους ἐκ πόλεως Νεφέλης γεγονότας ἐπιβῆναι ἵππων. — 4. Οἷς.) Ἵπποις δηλ. ἤτοι· δι' ὧν ἵππων ἀνελπίστως, ὅσοι μὲν ἔφευγον, τούτους κατελάμβανον· ὅσοι δὲ νικῶντες ἐδίωκον αὐτὰς, τούτους ἀπέλιμπανον, φεύγουσαι διὰ τῶν ἵππων ταχύτερον. — 5. Ταῖς ἰδέαις.) Εὐψυχότεραι δηλαδὴ ἐφαίνοντο τῶν ἀνδρῶν, ἢ ἐλλιπέστεραι κατὰ τὸν ὀργανισμὸν τοῦ σώματος αὐτῶν. — 6. Ἔργῳ μέν.)

τοὺς περὶ αὐτὰς[7] καταδεδουλωμέναι, λόγῳ δὲ[8] περὶ τῆσδε τῆς χώρας ἀκούουσαι κλέος μέγα, πολλῆς δόξης καὶ μεγάλης ἐλπίδος χάριν, παραλαβοῦσαι[9] τὰ μαχιμώτατα τῶν ἐθνῶν, ἐστράτευσαν ἐπὶ τήνδε τὴν πόλιν. Τυχοῦσαι δ' ἀγαθῶν ἀνδρῶν, ὁμοίας ἐκτήσαντο τὰς ψυχὰς τῇ φύσει,[10] καὶ ἐναντίαν τὴν δόξαν τῆς προτέρας λαβοῦσαι, μᾶλλον ἐκ τῶν κινδύνων ἢ ἐκ τῶν σωμάτων ἔδοξαν εἶναι γυναῖκες· μόναις δ' αὐταῖς οὐκ ἐξεγένετο[11] ἐκ τῶν ἡμαρτημένων μαθούσαις περὶ τῶν λοιπῶν ἄμεινον βουλεύσασθαι, οὐδ' οἴκαδε ἀπελθούσαις ἀπαγγεῖλαι τήν τε σφετέραν αὐτῶν[12] δυστυχίαν καὶ τὴν τῶν ἡμετέρων προγόνων ἀρετήν. Αὐτοῦ γὰρ ἀποθανοῦσαι, καὶ δοῦσαι δίκην[13] τῆς ἀνοίας, τῆσδε μὲν τῆς πόλεως, διὰ τὴν ἀρετήν,[14] ἀθάνατον μνήμην ἐποιήσαντο, τὴν δὲ ἑαυτῶν πατρίδα, διὰ τὴν ἐνθάδε συμφοράν, ἀνώνυμον κατέστησαν. Ἐκεῖναι μὲν οὖν τῆς ἀλλοτρίας ἀδίκως ἐπιθυμήσασαι, τὴν αὐτῶν δικαίως ἀπώλεσαν.

§ 3. Ἀδράστου δὲ καὶ Πολυνείκους ἐπὶ Θήβας στρατευσάντων,[2] καὶ ἡττηθέντων μάχῃ, οὐκ ἐώντων τῶν Καδμείων θάπτειν τοὺς νεκρούς, Ἀθηναῖοι ἡγησάμενοι ἐκείνους μέν, εἴτι ἠδίκουν, ἀποθανόντας δίκην ἔχειν[3] τὴν μεγίστην, τοὺς δὲ κάτω τὰ αὐτῶν οὐ κομίζεσθαι,[4] ἱερῶν δὲ μιαινομένων[5] τοὺς ἄνω θεοὺς ἀσεβεῖσθαι, τὸ μὲν πρῶτον πέμψαντες κήρυκας, ἐδέοντο αὐτῶν δοῦναι τὴν νεκρῶν ἀναίρεσιν·[6] νομίζοντες ἀνδρῶν μὲν ἀγαθῶν εἶναι ζῶντας τοὺς ἐχθροὺς τιμωρήσασθαι, ἀπιστούντων[7] δὲ σφίσιν αὐτοῖς, ἐν τοῖς τῶν τεθνεώτων σώμασι τὴν εὐψυχίαν ἐπιδείκνυσθαι. Οὐ δυνάμενοι δὲ τούτων τυχεῖν, ἐστράτευσαν ἐπ' αὐτούς, οὐδεμιᾶς διαφορᾶς πρότερον πρὸς Καδμείους[8] ὑπαρχούσης, οὐδὲ τοῖς ζῶσιν

---

Πολεμοῦσαι δηλαδή. — 7. Τοὺς περὶ αὐτάς.) Ἀνθρώπους δηλ. — 8. Λόγῳ δέ.) Πειθοῖ δηλονότι· ἔπειθον γὰρ τοὺς συμμάχους, δόξαν πολλήν, καὶ ἐλπίδας μεγάλας ὑπισχνούμεναι. — 9. Παραλαβοῦσαι.) Σκύθας, ἔθνη πολεμικώτατα. — 10. Ὁμοίας . . . . τῇ φύσει.) Γυναῖκες δηλονότι ἐφάνησαν, ὅπερ ἦσαν φύσει. — 11. Οὐκ ἐξεγένετο.) Οὐδεμία γὰρ ἀπελείφθη, ὥστε βουλεύσασθαι ἄμεινον περὶ τῶν λοιπῶν. — 12. Τήν τε σφετέραν αὐτῶν.) Πρόσκειται τὸ Αὐτῶν εἰς πλείονα σαφήνειαν. — 13. Δοῦναι δίκην.) Κολασθῆναι. ἔστι δὲ κατὰ περίφρασιν. — 14. Διὰ τὴν ἀρετήν.) Αὐτῶν.

§ 3. 2. Στρατευσάντων.) Περὶ τῆς τῶν ἑπτὰ ἐπὶ Θήβαις στρατείας λέγει· ὅρα Ἰσοκρ. πανηγ. κεφ. 15. ἐν σημ. — 3. Δίκην ἔχειν.) Τιμωρηθῆναι· τὸ μὲν γὰρ ἔχω δίκας καὶ λαμβάνω δίκας ἀντὶ τοῦ Κολάζω· τὸ δέ, Ὑπέχω δίκας, ἴσον τῷ Δίδωμι δίκας, ἀντὶ τοῦ κολάζομαι. — 4. Οὐ κομίζεσθαι.) Οἱ γὰρ Ἕλληνες ᾤοντο τὰς ψυχὰς μὴ κατιέναι εἰς ᾅδου, ἐὰν τὰ σώματα αὐτῶν μὴ ταφῇ. — 5. Μιαινομένων.) Τὰ ἱερὰ τῶν θεῶν διὰ τῶν σαρκῶν καὶ ὀστέων τῶν ἀτάφων νεκρῶν ἡρπαγμένων ὑπὸ κυνῶν, ἢ σαρκοφάγων ὀρνέων, καὶ διὰ τῶν ἱερῶν ἐσκορπισμένων μιαίνεται. — 6. Τὴν . . . . ἀναίρεσιν.) Ἡ λέξις ἰδία ἐν τῇ τοιαύτῃ ὑποθέσει· τὸ λαβεῖν καὶ θάψαι τοὺς νεκροὺς σημαίνουσα. — 7. Ἀπιστούντων.) Ἴδιον γὰρ ἡγοῦντο εἶναι τῶν μὲν ἀγαθῶν ἀνδρῶν τὸ τιμωρήσασθαι τοὺς ἐχθροὺς ζῶντας, τῶν δὲ ἀπιστούντων καὶ σφίσιν αὐτοῖς ὡς φαύλους, ἴδιον εἶναι ἐπιδείκνυσθαι τὴν εὐψυχίαν ἐν τοῖς σώμασι τῶν τεθνεώτων. — 8. Πρὸς Καδμείους.) Καδμεία

Ἀργείων χαριζόμενοι, ἀλλὰ τοὺς τεθνεῶτας ἐν τῷ πολέμῳ ἀξιοῦντες τῶν νομιζομένων τυγχάνειν, πρὸς ἑκατέρους[9] ὑπὲρ ἀμφοτέρων ἐκινδύνευσαν, ὑπὲρ μὲν τῶν, ἵνα μηκέτι εἰς τοὺς τεθνεῶτας ἐξαμαρτάνοντες, πλείω περὶ τοὺς θεοὺς ἐξυβρίσωσιν· ὑπὲρ δὲ τῶν ἑτέρων, ἵνα μὴ πρότερον[10] εἰς τὴν αὐτῶν ἀπέλθωσι, πατρίου τιμῆς ἀτυχήσαντες, καὶ Ἑλληνικοῦ νόμου στερηθέντες, καὶ κοινῆς ἐλπίδος ἡμαρτηκότες.[11] Ταῦτα διανοηθέντες, καὶ τὰς ἐπὶ τῷ πολέμῳ τύχας κοινὰς ἁπάντων ἀνθρώπων νομίζοντες, πολλοὺς μὲν πολεμίους κτώμενοι, τὸ δὲ δίκαιον ἔχοντες σύμμαχον ἐνίκων μαχόμενοι. Καὶ οὐχ ὑπὸ τῆς τύχης ἐπαρθέντες, μείζονος παρὰ Καδμείων τιμωρίας ἐπεθύμησαν, ἀλλ' ἐκείνοις μὲν ἀντὶ τῆς ἀσεβείας τὴν ἑαυτῶν ἀρετὴν ἐπεδείξαντο, αὐτοὶ δὲ λαβόντες τὰ ἆθλα,[12] ὧν περ ἕνεκα ἀφίκοντο, τοὺς Ἀργείων νεκροὺς, ἔθαψαν ἐν τῇ αὐτῶν,[13] Ἐλευσῖνι.

§ 4. Περὶ μὲν οὖν τοὺς ἀποθανόντας τῶν ἑπτὰ ἐπὶ Θήβας τοιοῦτοι γεγόνασιν· ὑστέρῳ δὲ χρόνῳ, ἐπειδὴ Ἡρακλῆς μὲν ἐξ ἀνθρώπων ἠφανίσθη,[2] οἱ δὲ παῖδες αὐτοῦ ἔφευγον μὲν Εὐρυσθέα, ἐξηλαύνοντο δὲ ὑπὸ πάντων τῶν Ἑλλήνων, αἰσχυνομένων μὲν ἐπὶ τοῖς ἔργοις,[3] φοβουμένων δὲ τὴν Εὐρυσθέως δύναμιν, ἀφικόμενοι εἰς τήνδε τὴν πόλιν, ἱκέται ἐπὶ τὸν βωμὸν ἐκαθέζοντο·[4] ἐξαιτουμένου δὲ αὐτοὺς Εὐρυσθέως, Ἀθηναῖοι οὐκ ἠθέλησαν ἐκδοῦναι, ἀλλὰ τὴν Ἡρακλέους ἀρετὴν μᾶλλον ᾐδοῦντο, ἢ τὸν κίνδυνον τὸν ἑαυτῶν ἐφοβοῦντο· καὶ ἠξίουν ὑπὲρ τῶν ἀσθενεστέρων μετὰ τοῦ δικαίου

---

ἡ τῶν Θηβῶν ἀκρόπολις ἐλέγετο ὑπὸ Κάδμου κτισθεῖσα· καὶ οἱ Θηβαῖοι ἐκ ταύτης Καδμεῖοι ἐνίοτε ὀνομάζονται. — 9. Πρὸς ἑκατέρους.) Τοὺς Θηβαίους δηλαδὴ, πολεμήσαντες αὐτοῖς ὑπέρ τε Ἀργείων, καὶ Θηβαίων, ὑπὲρ μὲν τῶν Θηβαίων ἵνα μηκέτι εἰς . . . ὑπὲρ δὲ τῶν Ἀργείων ἵνα μὴ πρότερον εἰς . . . — 10. Μὴ πρότερον.) Ὑπακούεται· Πρὶν ἢ τοὺς Ἀθηναίους ὑπὲρ αὐτῶν κινδυνεῦσαι. — 11. Ἀτυχήσαντες . . . στερηθέντες . . . ἡμαρτηκότες.) Πάτριος γὰρ τιμὴ ἦν τοῖς Ἕλλησι τὸ θάπτειν ἐντίμως τοὺς ἑαυτῶν νεκροὺς, καὶ νόμος δὲ κείμενος περὶ τούτου, κοινὴ δὲ ἐλπὶς τὸ ταφῆναι τοὺς ἀπελθόντας· ἵνα μὴ αὐτῶν αἱ ψυχαὶ μένωσιν ἔξω τοῦ ᾅδου κατὰ τὴν αὐτῶν δεισιδαιμονίαν. — 12. Τὰ ἆθλα.) Ἆθλα δὲ τῶν ἐν τῷ πολέμῳ πόνων τῶν Ἀθηναίων φησὶ λύσας τοὺς τῶν Ἀργείων νεκρούς. — 13. Ἐν τῇ αὐτῶν.) Γῇ δηλαδὴ τῇ Ἐλευσῖνι ἐν τῷ Κεραμικῷ· ἔνθα τοὺς ἑαυτῶν ἔθαπτον νεκρούς. Ἦσαν γὰρ τῇ Δήμητρι τῇ Ἐλευσινίᾳ πολλοὶ ναοὶ ἀφιερωμένοι· ὅθεν καὶ ἀπὸ τῆς Ἐλευσινίας Δήμητρος οἱ τόποι ὠνομάζοντο Ἐλευσῖνες.

§ 4. 2. Ἠφανίσθη.) Ἡρακλῆς παραγενόμενος εἰς Οἴτην ὄρος Τραχινίων, ἐκεῖ πυρὰν ποιήσας, ἐκέλευσεν ἐπιβάντος ὑφάπτειν, καιομένης δὲ τῆς πυρᾶς, λέγεται νέφος ὑποστὰν μετεώρου εἰς οὐρανὸν ἀναπέμψαι. Ἀπολλόδ. βιβλ. Β΄. κεφ. ζ΄. 7. ὅρα δὲ Ἰσοκρ. Πανηγ. κεφ. 15. σημείωσ. — 3. Ἐπὶ τοῖς ἔργοις.) Ἃ ἐποίουν· δηλονότι ἐξελαύνοντες τοὺς Ἡρακλέους παῖδας. — 4. Ἐπὶ τὸν βωμὸν ἐκαθέζοντο.) Ἐπὶ τὸν βωμὸν δηλονότι καταφυγόντες ἱκέτευον. Ἦσαν δὲ οἱ βωμοὶ τοῖς ἱκέταις ἄσυλον βέβαιον· ὁ δὲ βωμὸς οὗτος, ἐλέου ἐκαλεῖτο βωμός· ὡς Σχολιασ. Ἀριστοφ. Ἱππεῖς στίχ. 1148. φασίν. τῶν δὲ Ἀθηναίων μὴ ἐκδιδόντων Εὐρυσθεῖ τοὺς Ἡρακλείδας πρὸς τὸν τοῦ ἐλέου βωμὸν καταφυγόντας (ἦν δὲ ὁ βωμὸς οὗτος ἐν τῇ ἀγορᾷ, ὡς φησὶν Παυσαν. Ἀττικ. κεφ. ιέ)

διαμάχεσθαι μᾶλλον, ἢ τοῖς δυναμένοις χαριζόμενοι τοὺς ὑπ' ἐκείνων ἀδικουμένους ἐκδοῦναι. Ἐπιστρατεύσαντος δ' Εὐρυσθέως μετὰ τῶν ἐν ἐκείνῳ τῷ χρόνῳ Πελοπόννησον ἐχόντων, οὐκ, ἐγγὺς τῶν δεινῶν γενόμενοι, μετέγνωσαν, ἀλλὰ τὴν αὐτὴν εἶχον γνώμην, ἥνπερ πρότερον. Ἀγαθὸν μὲν οὐδὲν ἰδίᾳ ὑπὸ τοῦ πατρὸς αὐτῶν πεπονθότες, ἐκείνους δ' οὐκ εἰδότες, ὁποῖοί τινες ἄνδρες ἔσονται γενόμενοι·[5] δίκαιον δὲ νομίζοντες εἶναι,[6] οὐ προτέρας ἔχθρας ὑπαρχούσης πρὸς Εὐρυσθέα, οὐδὲ κέρδους προκειμένου, πλὴν δόξης ἀγαθῆς, τοσοῦτον κίνδυνον ὑπὲρ αὐτῶν ἤραντο· τοὺς μὲν ἀδικουμένους ἐλεοῦντες, τοὺς δ' ὑβρίζοντας μισοῦντες· καὶ τοὺς μὲν[7] κωλύειν ἐπιχειροῦντες, τοῖς δ' ἐπικουρεῖν ἀξιοῦντες· ἡγούμενοι ἐλευθερίας μὲν σημεῖον εἶναι,[8] μηδὲν ποιεῖν ἄκοντας· δικαιοσύνης δὲ, τοῖς ἀδικουμένοις βοηθεῖν· εὐψυχίας δ', ὑπὲρ τούτων ἀμφοτέρων, εἰ δέοι, μαχομένους ἀποθνήσκειν. Τοσοῦτον δ' ἐφρόνουν ἀμφότεροι, ὥσθ' οἱ μὲν μετ' Εὐρυσθέως οὐδὲν παρ' ἑκόντων ἐζήτουν εὑρίσκεσθαι,[9] Ἀθηναῖοι δὲ οὐκ ἠξίουν Εὐρυσθέα, αὐτὸν ἱκετεύοντα, τοὺς ἱκέτας αὐτῶν ἐξελεῖν. Παραταξάμενοι δ' ἰδίᾳ δυνάμει τὴν ἐξ ἁπάσης Πελοποννήσου στρατειὰν ἐλθοῦσαν ἐνίκων μαχόμενοι· καὶ τῶν Ἡρακλέους παίδων τὰ μὲν σώματα εἰς ἄδειαν κατέστησαν,[10] ἀπαλλάξαντες δὲ[11] τοῦ δέους καὶ τὰς ψυχὰς ἠλευθέρωσαν, διὰ τὴν τοῦ πατρὸς ἀρετήν,[12] ἐκείνους δὲ τοῖς αὐτῶν κινδύνοις ἐστεφάνωσαν. Τοσοῦτον δὲ εὐτυχέστεροι παῖδες ὄντες[13] ἐγένοντο τοῦ πατρός· ὁ μὲν γάρ, καίπερ ὢν ἀγαθῶν πολλῶν αἴτιος ἅπασιν ἀνθρώποις, ἐπίπονον καὶ φιλόνικον καὶ φιλότιμον αὐτῷ καταστήσας τὸν βίον, τοὺς μὲν ἄλλους ἀδικοῦντας ἐκόλασεν, Εὐρυσθέα δέ, καὶ ἐχθρὸν ὄντα, καὶ εἰς αὐτὸν ἐξαμαρτάνοντα, οὐχ οἷός τε ἦν τιμωρήσασθαι· οἱ δὲ παῖδες αὐτοῦ διὰ τήνδε τὴν πόλιν τῇ αὐτῇ εἶδον ἡμέρᾳ[14] τήν θ' ἑαυτῶν σωτηρίαν, καὶ τὴν τῶν ἐχθρῶν τιμωρίαν.

πολεμήσας, ἡττήθη. — 5. Ἄνδρες ἔσονται γενόμενοι.) Τὸ ἄνδρες πρὸς τὸ Γενόμενοι, ἵν' ᾖ· ἄνδρες γενόμενοι· τοῦτ' ἔστιν· ἀνδρωθέντες, ὁποῖοί τινὲς ἔσονται. — 6. Δίκαιον δὲ νομίζοντες εἶναι.) Ἵνα δηλονότι βοηθήσωσι τοῖς Ἡρακλείδαις ἱκέταις γενομένοις· καὶ διὰ τὴν τοῦ πατρὸς δόξαν. — 7. Καὶ τοὺς μέν.) Εὐρυσθέα καὶ τοὺς περὶ αὐτὸν . . . τοὺς δὲ Ἡρακλείδας. — 8. Εἶναι.) Ἐλλείπει Τοῦτο· ὅτι κ. τ. λ. — 9. Ἐζήτουν εὑρίσκεσθαι.) Οὐκ ἤθελον λαβεῖν τοὺς Ἡρακλέους παῖδας παρ' ἑκόντων Ἀθηναίων· ἵνα δηλονότι μαχεσάμενοι, νικηταὶ γένωνται τῶν Ἀθηναίων· οἱ δ' Ἀθηναῖοι οὐκ ἐβούλοντο· ἵν' ὁ Εὐρυσθεύς, ἐὰν καὶ αὐτὸς γένηται ἱκέτης, ἐξέλῃ ἀφ' ἑαυτῶν τοὺς Ἡρακλείδας ἱκέτας ἅπαξ γενομένους. — 10. Εἰς ἄδειαν κατέστησαν.) Ἐν ἀσφαλεῖ κατέστησαν. — 11. Ἀπαλλάξαντες δέ.) Αὐτοὺς δηλαδὴ τοὺς Ἡρακλέους παῖδας. — 12. Διὰ τὴν τοῦ πατρὸς ἀρετήν.) Πρός τε τὸ Κατέστησαν, καὶ πρὸς τὸ Ἠλευθέρωσαν φέρεται τὸ προϋποτόπτωτον· διὰ τὴν ἀρετὴν γὰρ Ἡρακλέους ταῦτα ἐποίησαν. — 13. Παῖδες ὄντες.) Ἐν ᾧ ἔτι ἦσαν παῖδες, ἐγένοντο πολὺ εὐτυχέστεροι τοῦ πατρὸς Ἡρακλ. — 14. Τῇ αὐτῇ εἶδον ἡμέρᾳ.) Ἐν τῇ αὐτῇ δηλ.

ΙΩΑΝΝΙΝΑ 2006

§ 5. Πολλὰ μὲν οὖν ὑπῆρχε τοῖς ἡμετέροις προγόνοις μιᾷ γνώμῃ χρωμένοις περὶ τοῦ δικαίου διαμάχεσθαι. Ἡ μὲν γὰρ ἀρχὴ[2] τοῦ βίου δικαία. (Οὐ γάρ, ὥσπερ οἱ πολλοὶ πανταχόθεν συνειλεγμένοι, καὶ ἑτέρους ἐκβαλόντες,[3] τὴν ἀλλοτρίαν ᾤκησαν, ἀλλ᾽ αὐτόχθονες ὄντες, τὴν αὐτὴν ἐκέκτηντο μητέρα καὶ πατρίδα.) Πρῶτοι δὲ καὶ μόνοι ἐν ἐκείνῳ τῷ χρόνῳ, ἐκβαλόντες τὰς παρὰ σφίσιν αὐτοῖς δυναστείας, δημοκρατίαν κατεστήσαντο· ἡγούμενοι τὴν πάντων ἐλευθερίαν ὁμόνοιαν εἶναι μεγίστην· κοινὰς δ᾽ ἀλλήλοις τὰς ἐκ τῶν κινδύνων ἐλπίδας ποιήσαντες, ἐλευθέραις ταῖς ψυχαῖς ἐπολιτεύοντο· νόμῳ τοὺς ἀγαθοὺς τιμῶντες, καὶ τοὺς κακοὺς κολάζοντες· ἡγησάμενοι θηρίων μὲν ἔργον εἶναι, ὑπ᾽ ἀλλήλων βίᾳ κρατεῖσθαι, ἀνθρώποις δὲ προσήκειν, νόμῳ μὲν ὁρίσασθαι τὸ δίκαιον, λόγῳ δὲ πεῖσαι· ἔργῳ δὲ τούτοις ὑπερετεῖν,[4] ὑπὸ νόμου μὲν βασιλευομένους, ὑπὸ λόγου δὲ διδασκομένους. Καὶ γάρ τοι καὶ φύντες καλῶς, καὶ γνόντες ὅμοια,[5] πολλὰ μὲν καλὰ καὶ θαυμαστὰ οἱ πρόγονοι τῶν ἐνθάδε κειμένων εἰργάσαντο, ἀείμνηστα δὲ καὶ μεγάλα, καὶ πανταχοῦ, οἱ ἐξ ἐκείνων γεγονότες τρόπαια διὰ τὴν αὐτῶν ἀρετὴν κατέλιπον. Μόνοι γὰρ[6] ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος πρὸς πολλὰς μυριάδας τῶν βαρβάρων διεκινδύνευσαν.

§ 6. Ὁ γὰρ τῆς Ἀσίας βασιλεύς, οὐκ ἀγαπῶν τοῖς ὑπάρχουσιν ἀγαθοῖς, ἀλλ᾽ ἐλπίζων καὶ τὴν Εὐρώπην δουλώσεσθαι, ἔστειλε πεντήκοντα μυριάδας στρατιάν. Ἡγησάμενοι[2] δέ, εἰ τήνδε τὴν πόλιν, ἢ ἑκοῦσαν φίλην ποιήσαιντο, ἢ ἄκουσαν καταστρέψαιντο, ῥᾳδίως τῶν ἄλλων Ἑλλήνων ἄρξειν, ἀπέβησαν εἰς Μαραθῶνα· νομίσαντες οὕτως ἂν ἐρημοτάτους εἶναι συμμάχων τοὺς Ἕλληνας, εἰ ἔτι στασιαζούσης τῆς Ἑλλάδος, ᾧ τινι χρὴ τρόπῳ τοὺς ἐπιόντας ἀμύνασθαι, τὸν κίνδυνον ποιήσαιντο. Ἔτι δ᾽ αὐτοῖς ἐκ τῶν προτέρων ἔργων περὶ τῆς πόλεως τοιαύτη δόξα παρειστήκει,[3] ὡς, εἰ μὲν πρότερον ἐπ᾽ ἄλλην πόλιν ἴωσιν, ἐκείνοις καὶ Ἀθηναίοις πολεμήσουσι· προθύμως γὰρ τοῖς ἀδικουμένοις ἥξουσι βοηθήσοντες· εἰ δ᾽ ἐνθάδε πρῶτον ἀφίξονται, οὐδένας ἄλλους τῶν Ἑλλήνων τολ-

---

§ 5. 2. Ἡ μὲν γὰρ ἀρχή.) Ἀναδειχθέντες γὰρ ἀπὸ τῆς αὐτῆς γῆς, γηγενεῖς καὶ αὐτόχθονες ὄντες οἱ Ἀθηναῖοι, ὡς αὐτοὶ λέγουσι, δικαίαν ἔχουσι τὴν ἀρχὴν τοῦ βίου. — 3. Ἐκβαλόντες.) Ἐβασιλεύοντο πρότερον αἱ Ἀθῆναι, καὶ πρῶτος Θησεὺς ὁ τοῦ Αἰγέως, δέκατος βασιλεύς, καθελὼν τὴν βασιλείαν, συνεστήσατο τὴν δημοκρατίαν· ἑαυτὸν ὑπερασπιστὴν τῶν νόμων μόνον ἀναδείξας. — 4. Τούτοις ὑπερετεῖν.) Τοῖς νόμοις δηλ. — 5. Καὶ γνόντες ὅμοια.) Δύο ἐστὶν ἐνταῦθα ἐννοεῖν· ἤτοι ἀντὶ ὁμοίως τὸ, ὅμοια, τουτέστι καλῶς· ἢ γοῦν ὅμοια ἑαυτοῖς, ἤτοι τὰ αὐτὰ φρονοῦντες ἅπαντες ὁμοθυμαδόν. — 6. Μόνοι γάρ.) Οἱ Ἀθηναῖοι τὴν ἐν Μαραθῶνι ἐννοεῖ μάχην καὶ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν.

§ 6. 2. Ἡγησάμενοι.) Οἱ βάρβαροι οὓς Δαρεῖος ὁ βασιλεὺς Περσῶν ἔπεμψεν, ὧν ἦρχε Δᾶτις, ἐπὶ καταδουλώσει τῆς Ἑλλάδος· τὸ δὲ πλῆθος τῶν ἀποβάντων καθ᾽ ὑπερβολῆς σχῆμα εἴρηκεν ὁ ῥήτωρ· φασὶ γὰρ εἶναι τοὺς πάντας μυριάδας δώδεκα. — 3. Τοιαύτη δόξα παρειστήκει.)

μήσειν,[4] ἑτέρους σώζοντας, φανερὰν ἔχθραν πρὸς ἐκείνους ὑπὲρ αὐτῶν καταθέσθαι. Οἱ μὲν τοίνυν ταῦτα διενοοῦντο· οἱ δ' ἡμέτεροι πρόγονοι οὐ λογισμῷ εἰδότες τοὺς ἐν τῷ πολέμῳ κινδύνους, ἀλλὰ νομίζοντες τὸν εὐκλεᾶ θάνατον ἀθάνατον περὶ τῶν ἀγαθῶν καταλίπειν λόγον,[5] οὐκ ἐφοβήθησαν τὸ πλῆθος τῶν ἐναντίων, ἀλλὰ τῇ αὐτῶν μᾶλλον ἐπίστευσαν. Καὶ αἰσχυνόμενοι, ὅτι ἦσαν οἱ βάρβαροι αὐτῶν ἐν τῇ χώρᾳ, οὐκ ἀνέμειναν πύθεσθαι, οὐδὲ βοηθῆσαι τοὺς συμμάχους· οὐδ' ᾠήθησαν δεῖν ἑτέροις τῆς σωτηρίας χάριν εἰδέναι, ἀλλὰ σφίσιν αὐτοῖς τοὺς ἄλλους Ἕλληνας.[6] Ταῦτα μιᾷ γνώμῃ πάντες γνόντες, ἀπήντων ὀλίγοι πρὸς πολλούς. Ἐνόμιζον γὰρ ἀποθανεῖν μὲν αὐτοῖς μετὰ πάντων προσήκειν, ἀγαθοὺς δ' εἶναι[7] μετ' ὀλίγων· καὶ τὰς μὲν ψυχὰς[8] ἀλλοτρίας διὰ τὸν θάνατον κεκτῆσθαι, τὴν δ' ἐκ τῶν κινδύνων μνήμην ἰδίαν καταλείψειν. Ἠξίουν δ', οὓς μὴ μόνοι νικῷεν, οὐδ' ἂν μετὰ συμμάχων δύνασθαι.[9] Καὶ ἡττηθέντες μέν, ὀλίγῳ τῶν ἄλλων προαπολεῖσθαι, νικήσαντες δέ, καὶ τοὺς ἄλλους ἐλευθερώσειν· ἄνδρες δ' ἀγαθοὶ γενόμενοι, καὶ τῶν μὲν σωμάτων ἀφειδήσαντες, ὑπὲρ δὲ τῆς ἀρετῆς οὐ φιλοψυχήσαντες,[10] καὶ μᾶλλον τοὺς παρ' αὐτοῖς νόμους αἰσχυνόμενοι, ἢ τὸν πρὸς τοὺς πολεμίους κίνδυνον φοβούμενοι, ἔστησαν μὲν τρόπαια ὑπὲρ τῆς Ἑλλάδος τῶν βαρβάρων ἐν τῇ αὐτῶν,[11] ὑπὲρ χρημάτων εἰς τὴν ἀλλοτρίαν ἐμβαλόντων, παρὰ τοὺς ὅρους τῆς χώρας.[12] Οὕτω δὲ διὰ ταχέων τὸν κίνδυνον ἐποιήσαντο, ὥστε οἱ αὐτοὶ τοῖς ἄλλοις ἀπήγγειλαν τήν τε ἐνθάδε ἄφιξιν τῶν βαρβάρων, καὶ τὴν τῶν προγόνων[13] νίκην. Καὶ γάρ τοι οὐδεὶς τῶν ἄλλων[14] ἔδεισεν ὑπὲρ τοῦ μέλλοντος κινδύνου, ἀλλ' ἀκούσαντες ὑπὲρ τῆς αὐτῶν ἐλευθερίας ἥσθησαν. Ὥστε οὐδὲν θαυμαστόν, πάλαι τῶν ἔργων γεγενημένων, ὥσπερ καινῶν ὄντων, ἔτι καὶ νῦν τὴν ἀρετὴν αὐτῶν ὑπὸ πάντων ἀνθρώπων ζηλοῦσθαι.

---

Τοιαῦτα ἐφρόνουν. — 4. Τολμήσειν.) Ἐννοεῖται· τὸ Δόξα παρειστήκει αὐτοῖς τοῖς βαρβάροις δηλ. ὁ νοῦς· ἐφρόνουν ὅτι οὐδεὶς ἄλλος τῶν Ἑλλήνων τολμήσει ἵνα φανερῶς γένηται αὐτοῖς τοῖς βαρβάροις ἐχθρὸς ὑπὲρ Ἀθηναίων· ἵνα βοηθήσωσι δηλονότι ἑτέρους. — 5. Λόγον.) Ἤτοι φήμην ἀθάνατον καταλίπει ὁ ἔνδοξος θάνατος περὶ τῶν ἀγαθῶν ἔργων, ἃ ἀγαθοὶ ἂν ἔπραξαν. — 6. Τοὺς ἄλλους Ἕλληνας.) Ἐννοεῖται ἀπὸ κοινοῦ τὸ Χάριν εἰδέναι. — 7. Ἀγαθοὺς δ' εἶναι.) Ἐννοεῖται τὸ Προσήκειν ἐνόμιζον ἀπὸ κοινοῦ. — 8. Καὶ τὰς μὲν ψυχάς.) Ἡγοῦντο δηλονότι ὅτι αἱ ψυχαὶ αὐτῶν εἰσὶν ἀλλότριαι διὰ τὸν θάνατον· ὡς ἀλλοτρίας τὰς ἑαυτῶν ψυχὰς παρεώρων καὶ εἰς θάνατον ἐνέβαλον. — 9. Δύνασθαι.) Νικῆσαι δηλ. — 10. Οὐ φιλοψυχήσαντες.) Οὐκ ἀγαπήσαντες τὸ ζῆν. — 11. Ἐν τῇ αὐτῶν.) Γῇ δηλ. — 12. Παρὰ τοὺς ὅρους τῆς χώρας.) Εἰς τὰ τῆς Ἀττικῆς δηλ. ὅρια εἰς Μαραθῶνα. — 13. Τῶν προγόνων.) Τούτῳ ἐχρήσατο τῷ ὀνόματι, σεβόμενος ἐκείνους πρὸς οὓς τοὺς λόγους ποιεῖται Λυσίας· ὁ δὲ νοῦς, νικήσαντες, εὐθὺς ἦλθον εἰς Ἀθήνας, καὶ ἐμήνυσαν αὐτοὶ τὴν νίκην· ὁ γὰρ Δάτις ἡττηθείς, ἐμβὰς εἰς τὰ πλοῖα, ὥρμησεν ἐπ' Ἀθήνας, ὁ δὲ Μιλτιάδης σὺν τῷ στρατῷ χωρὶς ἀναβολῆς καιροῦ, ἦλθεν εἰς Ἀθήνας βοηθήσων. — 14. Οὐδεὶς τῶν ἄλλων.) Ἑλλήνων δηλ.

§ 7. Μετὰ δὲ ταῦτα Ξέρξης, ὁ τῆς Ἀσίας βασιλεύς, καταφρονήσας μὲν τῆς Ἑλλάδος, ἐψευσμένος δὲ τῆς ἐλπίδος,[2] ἀτιμαζόμενος δὲ τῷ γεγενημένῳ, ἀχθόμενος δὲ τῇ συμφορᾷ, ὀργιζόμενος δὲ τοῖς αἰτίοις,[3] ἀπαθὴς δ' ὢν κακῶν καὶ ἄπειρος ἀνδρῶν ἀγαθῶν, δεκάτῳ ἔτει[4] παρασκευασάμενος, χιλίαις μὲν καὶ διακοσίαις ναυσὶν ἀφίκετο· τῆς δὲ πεζῆς στρατιᾶς οὕτως ἄπειρον τὸ πλῆθος ἦγεν, ὥστε καὶ τὰ ἔθνη τὰ μετ' αὐτοῦ ἀκολουθήσαντα[5] πολὺ ἂν ἔργον εἴη καταλέξαι. Τὸ δὲ μέγιστον σημεῖον τοῦ πλήθους· ἐξὸν γὰρ αὐτῷ χιλίαις ναυσὶ διαβιβάσαι, κατὰ τὸ στενώτατον τοῦ Ἑλλησπόντου, τὴν πεζὴν στρατιὰν ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην, οὐκ ἠθέλησεν, ἡγούμενος τὴν διατριβὴν αὐτῷ πολλὴν ἔσεσθαι· ἀλλ' ὑπεριδὼν καὶ τὰ φύσει πεφυκότα, καὶ τὰ θεῖα πράγματα, καὶ τὰς ἀνθρωπίνας διανοίας, ὁδὸν μὲν διὰ τῆς θαλάσσης ἐποιήσατο, πλοῦν δὲ διὰ τῆς γῆς ἠνάγκασε γενέσθαι, ζεύξας μὲν τὸν Ἑλλήσποντον,[6] διορύξας δὲ τὸν Ἄθω· ὑφισταμένου οὐδενός, ἀλλὰ τῶν μέν, ἀκόντων ὑπακουόντων, τῶν δέ, ἑκόντων προδιδόντων.[7] Οἱ μὲν γὰρ οὐχ ἱκανοὶ ἦσαν ἀμύνασθαι, οἱ δ' ὑπὸ χρημάτων διεφθαρμένοι. Ἀμφότερα δ' ἦν αὐτοὺς τὰ πείθοντα κέρδος καὶ δέος.[8]

§ 8. Ἀθηναῖοι δ', οὕτω διακειμένης τῆς Ἑλλάδος, αὐτοὶ μὲν εἰς τὰς ναῦς εἰσβάντες ἐπ' Ἀρτεμίσιον ἐβοήθησαν, Λακεδαιμόνιοι δὲ καὶ τῶν συμμάχων ἔνιοι εἰς Θερμοπύλας ἀπήντησαν, ἡγούμενοι διὰ τὴν στενότητα τῶν χωρίων τὴν πάροδον οἷοί τε ἔσεσθαι διαφυλάξαι. Γενομένου δὲ τοῦ κινδύνου κατὰ τὸν αὐτὸν χρόνον,[2] Ἀθηναῖοι μὲν ἐνίκων τῇ ναυμαχίᾳ· Λακεδαιμόνιοι δέ,[3] οὐδὲν ταῖς ψυχαῖς ἐνδεεῖς γενόμενοι, ἀλλὰ τοῦ πλήθους ψευσθέντες, καὶ οὓς φυλάξειν[4] ᾤοντο, καὶ πρὸς οὓς κινδυνεύσειν ἔμελλον, οὐχ ἡττη-

---

§ 7. 2. Ἐψευσμένος δὲ τῆς ἐλπίδος.) Ψεύδομαι τῆς ἐλπίδος σημαίνει τό, Ἄλλα ἐλπίζω καὶ ἄλλα συμβαίνει· φησὶ δὲ ταῦτα περὶ τῆς ἐν Μαραθῶνι μάχης. — 3. Τῷ γεγενημένῳ . . . συμφορᾷ . . . τοῖς αἰτίοις.) Κατ' ἔλλειψιν τῆς ἐπὶ ἢ παραπλησίας προθέσεως αἱ δοτικαὶ αὗται. — 4. Δεκάτῳ ἔτει.) Ἐν δεκάτῳ ἔτει. — 5. Μετ' αὐτοῦ ἀκολουθήσαντα.) Τὸ Ἕπομαι καὶ Ἀκολουθῶ δοτικῇ, ἔσθ' ὅτε δὲ καὶ γενικῇ μετὰ τῆς Μετά. — 6. Ζεύξας μὲν τὸν Ἑλλήσποντον.) Ἐν γὰρ Ἑλλησπόντῳ διὰ πλοίων γέφυραν ποιησάμενος διεβίβασε τὸν στρατόν· ἐν δὲ τῷ ἐν τῷ Ἄθῳ ἰσθμῷ τὸ στενὸν σκάψας ἥνωσε τὰς θαλάσσας, καὶ τὰς ναῦς διεβίβασε. — 7. Προδιδόντων.) Τὴν Ἑλλάδα δηλ. ἢ ἑαυτούς. — 8. Κέρδος καὶ δέος.) Κέρδος μὲν ἔπειθε τοὺς προδίδοντας, δέος δὲ τοὺς ὑπακούοντας· καὶ ἀμφοτέρους ἀμφότερα ἔπειθε.

§ 8. 2. Τὸν αὐτὸν χρόνον.) Καθ' ὃν χρόνον ἡ ναυμαχία ἐν Ἀρτεμισίῳ ἐγένετο, κατὰ τὸν αὐτὸν χρόνον καὶ Λεωνίδας μετὰ τῶν τριακοσίων καρτερῶς ἀγωνισάμενοι ἀπέθανον. — 3. Λακεδαιμόνιοι δέ.) Ἐννοεῖται Ἐδυστύχησαν, ἢ συμφορᾷ ἐχρήσαντο. — 4. Ψευσθέντες, καὶ οὓς φυλάξειν.) Τό τε γὰρ πλῆθος τὸ μετὰ Ξέρξου ἄπειρον· καὶ οὓς κατέστησαν ἐπὶ τὸ ὄρος φύλακας τῆς βατῆς τρίβου, ἐψεύσθησαν αὐτῶν· καταλιπόντες γὰρ τὴν φυλακήν, ἐπεὶ ἔγνωσαν τοὺς βαρβάρους ἐπερχομένους ᾤχοντο· ἦσαν

θέντες τῶν ἐναντίων, ἀλλ' ἀποθανόντες οὗπερ[5] ἐτάχθησαν μάχεσθαι. Τούτῳ δὲ τῷ τρόπῳ τῶν μὲν δυστυχησάντων, τῶν δὲ τῆς παρόδου κρατησάντων,[6] οἱ μὲν[7] ἐπορεύοντο ἐπὶ τήνδε τὴν πόλιν· οἱ δ' ἡμέτεροι πρόγονοι πυθόμενοι μὲν τὴν γεγενημένην Λακεδαιμονίοις συμφοράν, ἀποροῦντες δὲ τοῖς παρεστηκόσι πράγμασιν· εἰδότες δ', ὅτι, εἰ μὲν κατὰ γῆν τοῖς βαρβάροις ἀπαντήσονται, ἐπιπλεύσαντες[8] χιλίαις ναυσὶν ἐρήμην τὴν πόλιν λήψονται· εἰ δὲ εἰς τὰς τριήρεις ἐμβήσονται, ὑπὸ τῆς πεζῆς στρατιᾶς ἁλώσονται· ἀμφότερα δὲ οὐ δυνήσονται, ἀμύνασθαί τε καὶ φυλακὴν ἱκανὴν καταλιπεῖν· δυοῖν δὲ προκειμένοιν, πότερον χρὴ τὴν πατρίδα ἐκλιπεῖν, ἢ μετὰ τῶν βαρβάρων γενομένους καταδουλώσασθαι τοὺς Ἕλληνας, ἡγησάμενοι κρεῖττον εἶναι μετ' ἀρετῆς καὶ πενίας καὶ φυγῆς ἐλευθερίαν, ἢ μετ' ὀνείδους καὶ πλούτου δουλείαν τῆς πατρίδος, ἐξέλιπον ὑπὲρ τῆς Ἑλλάδος τὴν πόλιν, ἵν' ἐν μέρει πρὸς ἑκατέραν, ἀλλὰ μὴ πρὸς ἀμφοτέρας ἅμα τὰς δυνάμεις κινδυνεύσωσιν· ὑπεκθέμενοι δὲ παῖδας καὶ γυναῖκας καὶ μητέρας εἰς Σαλαμῖνα, συνήθροιζον καὶ τὸ τῶν ἄλλων συμμάχων ναυτικόν.

§ 9. Οὐ πολλαῖς δ' ὕστερον ἡμέραις ἦλθε καὶ ἡ πεζὴ στρατιὰ καὶ τὸ ναυτικὸν τὸ τῶν βαρβάρων,[2] ὃ τίς οὐκ ἂν ἰδὼν ἐφοβήθη;[3] οἷος[4] μέγας καὶ δεινὸς τῇδε τῇ πόλει κίνδυνος ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἠγωνίσθη; Ποίαν δὲ γνώμην εἶχον, ἢ οἱ θεώμενοι τοὺς ἐν ταῖς ναυσὶν ἐκείναις (οὔσης καὶ τῆς αὐτῶν σωτηρίας ἀπίστου, καὶ τοῦ προσιόντος κινδύνου·) ἢ οἱ μέλλοντες ναυμαχήσειν ὑπὲρ τῆς φιλότητος, ὑπὲρ τῶν ἄθλων τῶν ἐν Σαλαμῖνι;[5] οἷς[6] τοσοῦτον πανταχόθεν περιειστήκει πλῆθος πολεμίων, ὥστε ἐλάχιστον μὲν αὐτοῖς εἶναι τῶν παρόντων κακῶν τὸν θάνατον τὸν αὐτῶν,[7] τῷ αὐτὸν προειδέναι,[8] μεγίστην δὲ συμφοράν,[9] ἃ ὑπὸ τῶν βαρβάρων εὐτυχησάντων τοὺς ὑπεκτεθέντας[10] ἤλπιζον πείσεσθαι. Ἦπου διὰ τὴν ὑπάρχουσαν ἀπορίαν, πολλάκις μὲν ἐδεξιώσαντο ἀλλή-

---

δὲ οὗτοι Βοιωτοί. — 5. Οὗπερ.) Ἔνθα ἐτάχθησαν. — 6. Τῶν δὲ τῆς παρόδου κρατησάντων.) Τῶν δὲ Περσῶν κρατησάντων Θερμοπυλῶν, αἵτινες ἦσαν πάροδος εἰς τὸ κατελθεῖν εἰς Ἀθήνας. — 7. Οἱ μέν.) Πέρσαι δηλ. — 8. Ἐπιπλεύσαντες.) Οἱ βάρβαρο

§ 9 2. Τὸ τῶν βαρβάρων.) Κατ' ἐπεξήγησιν τὸ ἄρθρον· οὐ τὸ τῶν Ἀθηναίων δηλ. ἀλλὰ τὸ τῶν βαρβάρων ναυτικὸν ἦλθεν. — 3. Τίς οὐκ ἂν ἰδὼν ἐφοβήθη.) Τίς ἰδὼν οὐκ ἂν ἐφοβήθη; καθ' ὑπερβιβασμοῦ σχῆμα. — 4. Οἷος.) Θαυμαστικῶς. Τοιοῦτος μέγας καὶ δεινὸς κίνδυνος ἦν! — 5. Ὑπὲρ τῶν ἄθλων τῶν ἐν Σαλαμῖνι.) Τῶν γυναικῶν, καὶ παίδων, καὶ πατέρων· τῶν γὰρ Ἀθηναίων οἱ πλεῖστοι τὰς γυναῖκας, καὶ τέκνα εἰς Σαλαμῖνα εἶχον· ταῦτα δὲ καὶ Φιλότητα λέγει, ὃ τινὲς εἰς τὸ Συγγένειαν μετέφερον. — 6. Οἷς.) Μέλλουσι ναυμαχήσειν. — 7. Τῶν αὐτῶν.) Ἐπεξήγησις εἰς τό, θάνατον, εἰπὼν γὰρ ἀορίστως, διὰ τοῦ ἄρθρου καὶ τῆς γενικῆς ὡρίσατο. — 8. Τῷ αὐτὸν προειδέναι.) Ἐν τῷ προειδέναι αὐτὸν τὸν θάνατον, ἐπειδὴ προέβλεπεν αὐτόν. — 9. Μεγίστην δὲ συμφοράν.) Ἐννοεῖται ἀπὸ κοινοῦ τὸ Εἶναι. — 10. Τοὺς ὑπεκτεθέντας.) Ὅσους δηλ. ἐν Σαλαμῖνι, Αἰγίνῃ καὶ ταῖς λοιπαῖς εἶχον νήσοις συγγενεῖς, πατέρας, κα

ΙΩΑΝΝΙΝΑ 2006

λους, εἰκότως δὲ σφᾶς αὐτοὺς ὠλοφύραντο· εἰδότες δὲ τὰς σφετέρας ναῦς ὀλίγας οὔσας, ὁρῶντες δὲ πολλὰς τὰς τῶν πολεμίων· ἐπιστάμενοι δὲ τὴν μὲν πόλιν ἠρημωμένην, τὴν δὲ χώραν πορθουμένην, καὶ μεστὴν τῶν βαρβάρων· ἱερῶν δὲ καιομένων, ἁπάντων δ' ἐγγὺς ὄντων τῶν δεινῶν· ἀκούοντες δ' ἐν ταὐτῷ συμμεμιγμένου Ἑλληνικοῦ καὶ βαρβαρικοῦ παιᾶνος,[11] παρακελευσμοῦ δ' ἀμφοτέρων, καὶ κραυγῆς τῶν διαφθειρομένων, καὶ τῆς θαλάττης μεστῆς τῶν νεκρῶν, καὶ πολλῶν μὲν συμπιπτόντων καὶ φιλίων καὶ πολεμίων ναυαγίων, ἀντιπάλου[12] δὲ πολὺν χρόνον οὔσης τῆς ναυμαχίας· δοκοῦντες τοτὲ μὲν νενικηκέναι καὶ σεσῶσθαι, τοτὲ δ' ἡττῆσθαι καὶ ἀπολωλέναι. Ἦπου, διὰ τὸν παρόντα φόβον, πολλὰ μὲν ᾠήθησαν ἰδεῖν, ὧν οὐκ εἶδον, πολλὰ δ' ἀκοῦσαι,[13] ὧν οὐκ ἤκουσαν. Ποῖαι δ' οὐχ ἱκετεῖαι θεῶν ἐγένοντο, ἢ θυσιῶν ἀναμνήσεις; ἔλεός τε παίδων, καὶ γυναικῶν πόθος, οἶκτός τε πατέρων καὶ μητέρων; λογισμός τε εἰ δυστυχήσειαν, τῶν μελλόντων ἔσεσθαι κακῶν; τίς οὐκ ἂν θεῶν ἠλέησεν αὐτοὺς ὑπὲρ τοῦ μεγέθους τοῦ κινδύνου; ἢ τίς ἀνθρώπων οὐκ ἂν ἐδάκρυσεν; ἢ τίς τῆς τόλμης αὐτοὺς οὐκ ἂν ἠγάσθη; Ἦ πολὺ πλεῖστον ἐκεῖνοι κατὰ τὴν ἀρετὴν ἁπάντων ἀνθρώπων διήνεγκαν καὶ ἐν τοῖς βουλεύμασι καὶ ἐν τοῖς τοῦ πολέμου κινδύνοις· ἐκλιπόντες μὲν τὴν πόλιν, εἰς τὰς ναῦς δ' ἐσβάντες, τὰς δ' αὐτῶν ψυχὰς ὀλίγας οὔσας ἀντιτάξαντες τῷ πλήθει τῷ τῆς Ἀσίας. Ἐπέδειξαν δὲ καὶ πᾶσιν ἀνθρώποις, νικήσαντες τῇ ναυμαχίᾳ, ὅτι κρεῖττον μετ' ὀλίγων ὑπὲρ τῆς ἐλευθερίας κινδυνεύειν, ἢ μετὰ πολλῶν βασιλευομένων ὑπὲρ τῆς αὐτῶν δουλείας. Πλεῖστα δὲ καὶ κάλλιστα ἐκεῖνοι ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας συνεβάλοντο στρατηγὸν μέν, Θεμιστοκλέα, ἱκανώτατον εἰπεῖν καὶ γνῶναι καὶ πρᾶξαι·[14] ναῦς δὲ πλείους[15] τῶν ἄλλων ἁπάντων συμμάχων, ἄνδρας δ' ἐμπειροτάτους. Καίτοι[16] τίνες ἂν τούτοις τῶν ἄλλων Ἑλλήνων ἤρισαν γνώμῃ, καὶ ἀρετῇ; ὥστε δικαίως μὲν ἀναμφισβήτητα τἀριστεῖα τῆς ναυμαχίας ἔλαβον παρὰ τῆς Ἑλλάδος, εἰκότως δὲ τὴν εὐτυχίαν ὁμονοοῦσαν τοῖς κινδύνοις ἐκτήσαντο· γνησίαν δὲ καὶ αὐτόχθονα τοῖς ἐκ τῆς Ἀσίας βαρβάροις

---

γυναῖκας, καὶ τέκνα. — 11. Παιᾶνος.) Δύο Παιᾶνας ᾖδον οἱ παλαιοί, πρὸ μὲν τοῦ πολέμου τῷ Ἄρει, μετὰ δὲ τὸν πόλεμον τῷ Ἀπόλλωνι· ὕμνοι δὲ ἦσαν οἱ Παιᾶνες. — 12. Ἀντιπάλου.) Ἰσοπάλου, τὸ ἴσον γὰρ ἐνταῦθα σημαίνει ἡ Ἀντί, ἰσοῤῥόπου. — 13. Πολλὰ δ' ἀκοῦσαι.) Ἐννοεῖται λεγόντων, ἢ ἄλλο τι· γενικῇ γὰρ τὸ Ἀκούω. — 14. Εἰπεῖν καὶ γνῶναι καὶ πρᾶξαι.) Ὁ γὰρ Θεμιστοκλῆς ἔλεγε τοὺς Ἕλληνας βουλευομένους ἀποδρᾶναι, ὅτι πολεμήσαντες ἐν τοῖς στενοῖς, νικήσουσι τὸ ναυτικὸν τῶν Βαρβάρων· καὶ μὴ θελόντων, κρύφα ἔπεμψε πρὸς Ξέρξην, καὶ ἔπεμψε ναῦς, καὶ κατέσχε τὴν πάροδον, ὥστε ἐν ἀνάγκῃ γενόμενοι οἱ Ἕλληνες, καὶ ἄκοντες ναυμαχήσαντες, ἐνίκησαν πᾶν τὸ ναυτικὸν τῶν Περσῶν. — 15. Ναῦς δὲ πλείους.) Τριακόσιαι ὀγδοήκοντα, φασίν, ἦσαν τῶν Ἑλλήνων αἱ ναῦς, ὧν αἱ διακόσιαι παρῆσαν τῶν Ἀθηναίων. — 16 Καίτοι.) Καὶ γάρ τοι. —

τὴν αὐτῶν ἀρετὴν ἐπεδείξαντο. Ἐν μὲν οὖν τῇ ναυμαχίᾳ τοιούτους αὐτοὺς παρασχόντες, καὶ πολὺ πλεῖστον τῶν κινδύνων μετασχόντες τῇ ἰδίᾳ ἀρετῇ κοινὴν τὴν ἐλευθερίαν καὶ τοῖς ἄλλοις[17] ἐκτήσαντο.

§ 10. Ὕστερον δὲ Πελοποννησίων διατειχιζόντων τὸν Ἰσθμὸν, καὶ ἀγαπώντων μὲν[2] τῇ ἑαυτῶν σωτηρίᾳ, νομιζόντων δ' ἀπηλλάχθαι τοῦ κατὰ θάλατταν κινδύνου, καὶ διανοουμένων τοὺς ἄλλους Ἕλληνας περιϊδεῖν ὑπὸ τοῖς βαρβάροις γενομένους, ὀργισθέντες Ἀθηναῖοι συνεβούλευον αὐτοῖς, εἰ ταύτην τὴν γνώμην ἕξουσιν, περὶ ἅπασαν τὴν Πελοπόννησον τεῖχος περιβαλεῖν. Εἰ γὰρ αὐτοὶ,[3] ὑπὸ Ἑλλήνων προδιδόμενοι, μετὰ τῶν βαρβάρων ἔσονται, οὔτ' ἐκείνοις[4] δεήσειν χιλίων νεῶν, οὔτε τούτους ὠφελήσειν τὸ ἐν Ἰσθμῷ τεῖχος. Ἀκινδύνως γὰρ ἔσεσθαι τὴν τῆς θαλάσσης ἀρχὴν τοῦ βασιλέως. Διδασκόμενοι δὲ καὶ νομίζοντες, αὐτοὶ μὲν ἄδικά τε ποιεῖν καὶ κακῶς βουλεύεσθαι, Ἀθηναίους δὲ δίκαιά τε λέγειν, καὶ τὰ βέλτιστα αὐτοῖς παραινεῖν, ἐβοήθησαν εἰς Πλαταιάς· ἀποδράντων δὲ ὑπὸ νύκτα τῶν πλείστων συμμάχων ἐκ τῶν τάξεων, διὰ τὸ πλῆθος τῶν πολεμίων, Λακεδαιμόνιοι μὲν καὶ Τεγεᾶται τοὺς βαρβάρους ἐτρέψαντο, Ἀθηναῖοι δὲ καὶ Πλαταιεῖς πάντας τοὺς Ἕλληνας ἐνίκων μαχόμενοι τοὺς ἀπογνόντας τῆς ἐλευθερίας, καὶ ὑπομείναντας τὴν δουλείαν. Ἐν ἐκείνῃ δὲ τῇ ἡμέρᾳ καλλίστην τελευτὴν τοῖς προτέροις κινδύνοις ἐπιθέντες, βέβαιον μὲν τὴν ἐλευθερίαν τῇ Εὐρώπῃ κατειργάσαντο, ἐν ἅπασι δὲ τοῖς κινδύνοις δόντες ἔλεγχον τῆς ἑαυτῶν ἀρετῆς, καὶ μόνοι, καὶ μεθ' ἑτέρων, καὶ πεζομαχοῦντες, καὶ ναυμαχοῦντες, καὶ πρὸς τοὺς βαρβάρους καὶ πρὸς τοὺς Ἕλληνας, ὑπὸ πάντων ἠξιώθησαν, καὶ μεθ' ὧν ἐκινδύνευον, καὶ πρὸς οὓς[5] ἐπολέμουν, ἡγεμόνες γενέσθαι τῆς Ἑλλάδος.

§ 11. Ὑστέρῳ δὲ χρόνῳ Ἑλληνικοῦ πολέμου καταστάντος, διὰ ζῆλον τῶν γεγενημένων, καὶ φθόνον τῶν πεπραγμένων, μέγα μὲν ἅπαντες φρονοῦντες, μικρῶν δ' ἐγκλημάτων ἕκαστοι δεόμενοι,[2]

---

17. Καὶ τοῖς ἄλλοις.) Ἕλλησι δηλαδή.

§ 10. 2. Ἀγαπώντων μέν.) Τὸ Ἀγαπῶ τὸ Εὐχαριστοῦμαι σημαῖνον δοτικῇ συντάσσεται. — 3. Αὐτοί.) Οἱ Ἀθηναῖοι, ἐὰν μετὰ τῶν Βαρβάρων γένωνται, ἐπειδὴ προδίδονται ὑπὸ τῶν Ἑλλήνων. — 4. Ἐκείνοις.) Τοῖς Πέρσαις δηλ. — 5. Καὶ μεθ' . . . καὶ πρὸς οὕς.) Πάντες γὰρ οἱ Ἕλληνες μετὰ τὸ διῶξαι τὸν βάρβαρον οἵ τε ἐν Εὐρώπῃ καὶ οἱ ἐν Ἀσίᾳ διὰ τὸ Παυσανίου μῖσος βιαίου ὄντος, ἡγεμόνας ἠξίωσαν γενέσθαι τοὺς Ἀθηναίους.

§ 11. 2. Φρονοῦντες . . . δεόμενοι.) Ἐνταῦθα διὰ τὴν τῶν πραγμάτων σύγχυσιν συνέχεε καὶ τὰ τῆς συντάξεως, τὰς ὀνομαστικὰς ταύτας ἀνανταποδότους ἐάσας· ἔδει δὲ οὕτως ἐκθεῖναι τὸν λόγον· ὑστέρῳ δὲ χρόνῳ Ἑλληνικὸς κατέστη πόλεμος διὰ ζῆλον τῶν γεγενημένων, καὶ φθόνον τῶν πεπραγμένων, μέγα μὲν ἁπάντων φρονούντων, μικρῶν δὲ ἐγκλημάτων ἑκάστων δεομένων· ναυμαχίας δὲ Ἀθηναίοις πρὸς Αἰγινήτας καὶ τοὺς ἐκείνων συμμάχους γενομένης, οἱ Ἀθηναῖοι ἑβδομήκοντα τριήρεις τῶν πολεμίων ἐλάμβανον· εἰς δὲ θεραπείαν ἢ ἀπολύτοις αἱ ὀνομαστικαὶ ληφθήτωσαν· ἢ γοῦν ληφθήτω ἔξωθεν ἐπολέμουν πρὸς ἀλλήλους, ἢ ἄλλο τι ὁμοίως κατάλληλον τῷ

ναυμαχίας Ἀθηναίοις πρὸς Αἰγινήτας καὶ τοὺς ἐκείνων συμμάχους γενομένης, ἑβδομήκοντα τριήρεις αὐτῶν[3] ἐλάμβανον. Πολιορκούντων δὲ κατὰ τὸν αὐτὸν χρόνον Αἴγυπτόν τε καὶ Αἴγιναν, καὶ τῆς ἡλικίας[4] ἀπούσης ἔν τε ταῖς ναυσὶ καὶ ἐν τῷ πεζῷ στρατεύματι, Κορίνθιοι καὶ οἱ ἐκείνων σύμμαχοι, ἡγούμενοι ἢ εἰς ἔρημον τὴν χώραν ἐμβαλεῖν, ἢ ἐξ Αἰγίνης ἄξειν τὸ στρατόπεδον, ἐξελθόντες πανδημεὶ, Γεράνειαν κατέλαβον, Ἀθηναῖοι δὲ, τῶν μὲν απόντων, τῶν δ᾿ ἐγγὺς[5] ὄντων, οὐδένα ἐτόλμησαν μεταπέμψασθαι· ταῖς δ᾿ αὐτῶν ψυχαῖς πιστεύσαντες, καὶ τῶν ἐπιόντων καταφρονήσαντες, οἱ γεραίτεροι καὶ ἡ τῆς ἡλικίας ἐντὸς[6] γεγονότες, ἠξίουν αὐτοὶ μόνοι τὸν κίνδυνον ποιήσασθαι· οἱ μὲν, ἐμπειρείᾳ τὴν ἀρετὴν, οἱ δὲ φύσει κεκτημένοι· καὶ οἱ μὲν, αὐτοὶ πολλαχοῦ ἀγαθοὶ γεγενημένοι, οἱ δὲ,[7] ἐκείνους μιμούμενοι· τῶν μὲν πρεσβυτέρων ἄρχειν ἐπισταμένων, τῶν δὲ νεωτέρων τὸ ἐπιταττόμενον ποιεῖν δυναμένων· Μυρωνίδου στρατηγοῦντος ἀπαντήσαντες αὐτοὶ εἰς τὴν Μεγαρικὴν, ἐνίκων μαχόμενοι ἅπασαν τὴν δύναμιν τὴν ἐκείνων, τοῖς ἤδη ἀπειρηκόσι, καὶ τοῖς οὔπω δυναμένοις,[8] τοὺς εἰς τὴν σφετέραν ἐμβαλεῖν ἀξιώσαντας, εἰς τὴν ἀλλοτρίαν ἀπαντήσαντες, τρόπαιον δὲ στήσαντες, καλλίστου μὲν αὐτοῖς ἔργου, αἰσχίστου δὲ τοῖς πολεμίοις, οἱ μὲν οὐκ ἔτι τοῖς σώμασιν,[9] οἱ δ᾿ οὔπω δυνάμενοι· ταῖς δὲ ψυχαῖς ἀμφότεροι κρείττους γενόμενοι, μετὰ καλλίστης δόξης εἰς τὴν αὐτῶν ἀπελθόντες,[10] οἱ μὲν πάλιν ἐπαιδεύοντο· οἱ δὲ περὶ τῶν λοιπῶν ἐβουλεύοντο.

§ 12. Καθ᾿ ἕκαστον μὲν οὖν οὐ ῥᾴδιον τὰ ὑπὸ πολλῶν κινδυνευθέντα[2] ὑφ᾿ ἑνὸς ῥηθῆναι, οὐδὲ τὰ ἐν ἅπαντι τῷ χρόνῳ πραχθέντα ἐν μιᾷ ἡμέρᾳ δηλωθῆναι. Τίς γὰρ ἂν ἢ χρόνος, ἢ λόγος, ἢ ῥήτωρ, ἱκανὸς γένοιτο μηνῦσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετήν; μετὰ πλείστων γὰρ πόνων, καὶ φανερωτάτων ἀγώνων, καὶ καλλίστων κινδύνων, ἐλευθέραν μὲν ἐποίησαν τὴν Ἑλλάδα, μεγίστην δ᾿ ἀπέδειξαν τὴν ἑαυτῶν πατρίδα· ἑβδομήκοντα μὲν ἔτη τῆς θαλάττης ἄρξαντες, ἀστασιάστους δὲ παρασχόντες τοὺς συμμά-

---

ἐννοίᾳ ῥῆμα. — 3. Αὐτῶν.) Τῶν Αἰγινητῶν δηλ. καὶ τῶν συμμάχων αὐτῶν· Θουκυδ. ξυγγρ. Α'. κεφ. ρέ. — 4. Καὶ τῆς ἡλικίας.) Τὸ ἀφῃρημένον ἀντὶ τοῦ συγκεκριμένου, ἤτοι, τῶν ἡλικιωτῶν τῶν ἐν ἡλικίᾳ ὄντων. — 5. Τῶν μὲν ἀπόντων τῶν δ᾿ ἐγγύς.) Ἀπῆσαν γὰρ οἱ εἰς Αἴγυπτον, ἐγγὺς δ᾿ ἦσαν οἱ εἰς Αἴγιναν· Θουκυδ. ξυγγρ. Α'. κεφ. ρέ. — 6. Τῆς ἡλικίας ἐντός.) Οἱ μή πω ὄντες ἐν ἡλικίᾳ στρατιωτικῇ, οἱ ἔφηβοι. — 7. Οἱ δέ.) Ἐντὸς τῆς ἡλικίας ὄντες, οἱ ἔφηβοι — 8. Τοῖς ἤδη ἀπειρηκόσι καὶ τοῖς οὔπω δυναμένοις.) Τοῖς γέρουσι δηλαδὴ, ὧν αἱ δυνάμεις ἤδη ἐξέλιπον, καὶ τοῖς ἐφήβοις μήπω ἰσχύουσιν· ἦν δὲ αὐτῶν στρατηγὸς Μυρωνίδης· Θουκυδ. Α'. ρέ. — 9. Οἱ μὲν οὐκ ἔτι τοῖς σώμασιν.) Ἰσχύοντες δηλ. περὶ τῶν γερόντων λέγει. — 10. Ἀπελθόντες.) Ἐπιστρέψαντες οἴκαδε, οἱ μὲν νέοι ἐπαιδεύοντο, οἱ δὲ γέροντες ἐβουλεύοντο.

§ 12. 2. Κινδυνευθέντα.) Κινδύνῳ δηλονότι τῆς ζωῆς πραχθέντα· καὶ με-

Ε.Λ.Δ τμ. Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

χους· οὐ τοῖς ὀλίγοις τοὺς πολλοὺς δουλεύειν ἀξιώσαντες, ἀλλὰ τὸ ἴσον ἔχειν ἅπαντας ἀναγκάσαντες· οὐδὲ τοὺς συμμάχους ἀσθενεῖς ποιοῦντες, ἀλλὰ κἀκείνους ἰσχυροὺς καθιστάντες, καὶ τὴν αὐτῶν δύναμιν τοσαύτην ἐπιδείξαντες, ὥσθ' ὁ μέγας βασιλεὺς[3] οὐκ ἔτι τῶν ἀλλοτρίων ἐπεθύμει, ἀλλ' ἐδίδου τῶν ἑαυτοῦ,[4] καὶ περὶ τῶν λοιπῶν ἐφοβεῖτο· καὶ οὔτε τριήρεις ἐν ἐκείνῳ τῷ χρόνῳ ἐκ τῆς Ἀσίας ἔπλευσαν, οὔτε τύραννος ἐν τοῖς Ἕλλησι κατέστη, οὔτε Ἑλληνὶς πόλις ὑπὸ τῶν βαρβάρων ἠνδραποδίσθη. Τοσαύτην σωφροσύνην καὶ δέος ἡ τούτων ἀρετὴ πᾶσιν ἀνθρώποις παρεῖχεν. Ὧν ἕνεκα δεῖ μόνους καὶ προστάτας τῶν Ἑλλήνων καὶ ἡγεμόνας τῶν πόλεων γίγνεσθαι.

§ 13. Ἐπέδειξαν δὲ καὶ ἐν ταῖς δυστυχίαις τὴν ἑαυτῶν ἀρετήν. Ἀπολομένων γὰρ τῶν νεῶν ἐν Ἑλλησπόντῳ,[2] εἴτε ἡγεμόνος κακίᾳ, εἴτε θεῶν διανοίᾳ, καὶ συμφορᾶς ἐκείνης μεγίστης γενομένης καὶ ἡμῖν τοῖς δυστυχήσασι, καὶ τοῖς ἄλλοις Ἕλλησιν, ἐδήλωσαν οὐ πολλῷ χρόνῳ ὕστερον, ὅτι ἡ τῆς πόλεως δύναμις τῆς Ἑλλάδος ἦν σωτηρία. Ἑτέρων γὰρ ἡγεμόνων γενομένων, ἐνίκησαν μὲν ναυμαχοῦντες τοὺς Ἕλληνας οἱ πρότερον[3] εἰς τὴν θάλασσαν οὐκ ἐμβαίνοντες, ἔπλευσαν δ' εἰς τὴν Εὐρώπην· δουλεύουσι δὲ πόλεις τῶν Ἑλλήνων, τύραννοι δ' ἐγκαθεστᾶσιν, οἱ μὲν, μετὰ τὴν ἡμετέραν συμφορὰν, οἱ δὲ, μετὰ τὴν νίκην τῶν βαρβάρων. Ὥστ' ἄξιον[4] ἦν ἐπὶ τῷδε τῷ τάφῳ[5] τότε κείρασθαι τῇ Ἑλλάδι, καὶ πενθῆσαι τοὺς ἐνθάδε κειμένους, ὡς συγκαταθαπτομένης τῆς αὐτῶν ἐλευθερίας τῇ τούτων ἀρετῇ. Ὡς δυστυχὴς μὲν ἡ Ἑλλὰς τοιούτων ἀνδρῶν ὀρφανὴ γενομένη, εὐτυχὴς δ' ὁ τῆς Ἀσίας βασιλεὺς, ἑτέ-

---

γίστῳ πόνῳ τοῦ σώματος. — 3. Ὥσθ' ὁ μέγας βασιλεύς) Ὁ τῶν Περσῶν βασιλεὺς κατ' ἐξοχὴν οὕτως ὠνομάζετο. — 4. Ἀλλ' ἐδίδου τῶν ἑαυτοῦ.) Πολλὰς γὰρ πόλεις ὑπὸ τοῦ βασιλέως οὔσας κατέσχον οἱ Ἕλληνες καὶ μάλιστα ὁπότε Ἀγησίλαος ὁ Λακεδαιμονίων βασιλεὺς εἰς Ἀσίαν ἐστράτευσεν· ἡ δὲ γενικὴ κατ' ἔλλειψιν τοῦ Τινάς· ἐδίδου γὰρ τινὰς τῶν ἑαυτοῦ πόλεων.

§ 13. 2. Ἐν Ἑλλησπόντῳ.) Ὁπότε Λακεδαιμόνιοι ἐνίκησαν κατὰ κράτος τὸ ναυτικὸν τῶν Ἀθηναίων ἐν Ἑλλησπόντῳ. Λυσάνδρου ἡγουμένου· τότε γὰρ ἐπιστρέψας ἐκεῖθεν Λύσανδρος, ἐπολιόρκησε τὰς Ἀθήνας, καὶ ἠνάγκασεν ὑφ' αὐτὸν γενέσθαι, τοὺς τριάκοντα καταστήσας τυράννους· Ξενοφ. Ἑλλην. βιβλ. Β'. κεφ. ά. καὶ β'. — 3. Οἱ πρότερον) Οἱ βάρβαροι δηλαδή· περὶ οὗ Ἰσοκρ. Πανηγ. κεφ. 35. φησίν· «ἐνίκησαν μὲν οἱ »βάρβαροι ναυμαχοῦντες, ἦρξαν δὲ τῆς »θαλάττης, κατέσχον δὲ τὰς πλείστας »τῶν νήσων, ἀπέβησαν δὲ εἰς τὴν Λα»κωνικὴν, Κύθειρα δὲ κατὰ κράτος εἷ»λον, ἅπασαν δὲ Πελοπόννησον κακῶς »ποιοῦντες περιέπλευσαν·« ὅρα καὶ Ξενοφ. Ἑλλην. Βιβλ. Δ'. κεφ. ή. 7. — 4. Ὥστ' ἄξιον.) Ἄξιον ἦν τῇ Ἑλλάδι τότε κείρασθαι, καὶ πενθῆσαι. Ὅτε γὰρ ἐπένθουν οἱ Ἕλληνες ἐκείροντο, καὶ ἦν τὸ κείρεσθαι πένθους σημεῖον· ὅτε δὲ ἐν εὐπραγίᾳ ἦσαν ἔτρεφον τὴν κόμην. — 5. Ἐπὶ τῷδε τῷ τάφῳ) Τῷ ἐν τῷ Κεραμικῷ· ἔνθα τότε μετὰ τὴν ἐν Αἰγὸς ποταμοῖς, ὅπου Λύσανδρος ἐκυρίευσε τὸν στόλον τῶν Ἀθηναίων, ἀτυχίαν ἐτιμῶντο οἱ ἐν Ἑλλησπόντῳ πεσόντες κενοταφίοις θαπτόμενοι. Ἀριστοτ. Ῥητο-

ρων ἡγεμόνων λαβόμενος. Τῇ μὲν γὰρ τούτων στερηθείσῃ, δουλεία περιέστηκε, τῷ δ', ἄλλων[6] ἀρξάντων, ζῆλος ἐγγίνεται τῆς τῶν προγόνων διανοίας.

§. 14. Ἀλλὰ ταῦτα μὲν ἐξήχθην ὑπὲρ πάσης ὀλοφύρασθαι τῆς Ἑλλάδος. Ἐκείνων δὲ τῶν ἀνδρῶν[2] ἄξιον καὶ ἰδίᾳ καὶ δημοσίᾳ μεμνῆσθαι, οἱ φεύγοντες τὴν δουλείαν, καὶ περὶ τοῦ δικαίου μαχόμενοι, καὶ ὑπὲρ τῆς δημοκρατίας στασιάσαντες, πάντας[3] πολεμίους κεκτημένοι, εἰς τὸν Πειραιᾶ κατῆλθον, οὐχ ὑπὸ νόμου ἀναγκασθέντες, ἀλλ' ὑπὸ τῆς φύσεως πεισθέντες, καινοῖς κινδύνοις τὴν παλαιὰν τῶν προγόνων ἀρετὴν μιμησάμενοι, ταῖς αὐτῶν ψυχαῖς κοινὴν τὴν πόλιν καὶ τοῖς ἄλλοις κτησάμενοι, θάνατον μετ' ἐλευθερίας αἱρούμενοι, ἢ βίον μετὰ δουλείας· οὐχ ἧττον ταῖς συμφοραῖς αἰσχυνόμενοι, ἢ τοῖς ἐχθροῖς ὀργιζόμενοι· μᾶλλον βουληθέντες ἐν τῇ αὐτῶν ἀποθνήσκειν, ἢ ζῆν τὴν ἀλλοτρίαν οἰκοῦντες, συμμάχους μὲν ὅρκους καὶ συνθήκας ἔχοντες, πολεμίους δὲ τοὺς πρότερον ὑπάρχοντας, καὶ τοὺς πολίτας[4] τοὺς ἑαυτῶν. Ἀλλ' ὅμως οὐ τὸ πλῆθος τῶν ἐναντίων φοβηθέντες, ἀλλ' ἐν τοῖς σώμασι τοῖς ἑαυτῶν κινδυνεύσαντες, τρόπαιον μὲν τῶν πολεμίων ἔστησαν, μάρτυρας δὲ τῆς αὐτῶν ἀρετῆς ἐγγὺς ὄντας τοῦδε τοῦ μνήματος τοὺς Λακεδαιμονίων[5] τάφους παρέχονται. Καὶ γάρ τοι καὶ μεγάλην μὲν ἀντὶ μικρᾶς ἀπέδειξαν τὴν πόλιν, ὁμονοοῦσαν δὲ ἀντὶ στασιαζούσης ἀπέφηναν, τείχη δὲ ἀντὶ τῶν καθῃρημένων ἀνέστησαν. Οἱ δὲ κατελθόντες αὐτῶν, ἀδελφὰ τὰ βουλεύματα τοῖς ἔργοις τῶν ἐνθάδε κειμένων ἐπιδεικνύντες, οὐκ ἐπὶ τιμωρίαν τῶν ἐχθρῶν, ἀλλ' ἐπὶ σωτηρίαν τῆς πόλεως ἐτράποντο· καὶ οὔτε ἐλαττοῦσθαι δυνάμενοι,[6] οὔτ' αὐτοὶ πλέον ἔχειν δεόμενοι, τῆς μὲν αὐτῶν ἐλευθερίας καὶ τοῖς βουλομένοις[7] δουλεύειν μετέδωκαν, τῆς δ' ἐκείνων δουλείας αὐτοὶ μετέχειν οὐκ ἠξίωσαν. Ἔργοις δὲ μεγί-

ρικ. βιβλ. Γ'. κεφ. ι. — 6. Τῇ μὲν γὰρ . . . . τῷ δ', ἄλλων.) Τῇ μὲν Ἑλλάδι, στερηθείσῃ τούτων τῶν ἡγεμόνων, περιέστηκε δουλεία· τῷ δὲ Περσῶν βασιλείῳ Λακεδαιμονίων ἀρξάντων, ζῆλος ἐγγίνεται τῆς Δαρείου καὶ Ξέρξου διανοίας, πόλεμον εἰς τὴν Ἑλλάδα εἰσαγαγόντων.

§ 14. 2. Ἐκείνων δὲ τῶν ἀνδρῶν.) Τῶν περὶ τὸν Θρασύβουλον λέγει· οὗτος γὰρ, τῶν Ἀθηνῶν κατεχομένων ὑπὸ τῶν τριάκοντα τυράννων, ὁρμήσας ἀπὸ Θηβῶν μετὰ ἑβδομήκοντα, εἷλε Φυλήν· ἀφ' ἧς μετὰ χιλίων εἰς Πειραιᾶ εἰσῆλθε, κἀκεῖθεν εἰς τὴν πόλιν ἀνέβη· νικήσας τοὺς τυράννους, καὶ τὴν δημοκρατίαν κατέστησεν ὡς ἐν Ξενοφ. Ἑλλην. βιβλ. Β'. κεφ. δ'. — 3. Πάντας.) Τούς τε Λακεδαιμονίους καὶ τοὺς μετὰ τῶν τριάκοντα Ἀθηναίους. — 4. Τοὺς πρότερον ὑπάρχοντας καὶ τοὺς πολίτας.) Τούς τε Λακεδαιμονίους καὶ πρότερον ὑπάρξαντας πολεμίους, καὶ τοὺς πολίτας τοὺς μετὰ τῶν τριάκοντα ὄντας. — 5. Τοὺς Λακεδαιμονίων.) Ἐβοήθησαν δὲ οἱ Λακεδαιμόνιοι τοῖς τυράννοις. — 6. Δυνάμενοι.) Ἀντὶ Ὑπομένοντες, ἀνεχόμενοι· οὐκ ἠνείχοντο γὰρ δουλεύειν· ὅθεν καὶ κατὰ σχῆμα χιαστὸν τὸ μὲν Μετέδωκαν ἀναφέρεται εἰς τὸ Δεόμενοι· τὸ δὲ Ἠξίωσαν εἰς τὸ Δυνάμενοι. — 7. Τοῖς βουλομένοις.) Ὅσοι δηλονότι ἠγάπων τοῖς τυράννοις δουλεύειν ἐν Ἀθήναις, ὑπὲρ

Ε. Χ. Δ. Π. ΙΩΑΝΝΙΝΑ 2006

στοις καὶ καλλίστοις ἀπελογήσαντο, ὅτι οὐ κακίᾳ τῇ αὐτῶν, οὐδ' ἀρετῇ τῶν πολεμίων, πρότερον ἐδυστύχησεν ἡ πόλις. Εἰ γὰρ στασιάσαντες πρὸς ἀλλήλους, βίᾳ, παρόντων Πελοποννησίων καὶ τῶν ἄλλων ἐχθρῶν, εἰς τὴν αὐτῶν οἷοί τε ἐγίνοντο κατελθεῖν, δῆλον, ὅτι ῥᾳδίως ἂν ὁμονοοῦντες πολεμεῖν αὐτοῖς ἐδύναντο. Ἐκεῖνοι μὲν οὖν διὰ τοὺς ἐν Πειραιεῖ κινδύνους ὑπὸ πάντων ἀνθρώπων ζηλοῦνται· ἄξιον δὲ καὶ τοὺς ξένους[8] τοὺς ἐνθάδε κειμένους ἐπαινέσαι, οἳ τῷ πλήθει βοηθήσαντες, καὶ περὶ τῆς ἡμετέρας σωτηρίας μαχόμενοι, πατρίδα τὴν ἀρετὴν[9] ἡγησάμενοι, τοιαύτην τοῦ βίου τελευτὴν ἐποιήσαντο· ἀνθ' ὧν ἡ πόλις αὐτοὺς καὶ ἐπένθησε καὶ ἔθαψε δημοσίᾳ,[10] καὶ ἔδωκεν ἔχειν αὐτοῖς τὸν ἅπαντα χρόνον τὰς αὐτὰς τιμὰς τοῖς ἀστοῖς.[11]

§ 15. Οἱ δὲ νῦν θαπτόμενοι, βοηθήσαντες Κορινθίοις ὑπὸ παλαιῶν φίλων ἀδικουμένοις, καινοὶ σύμμαχοι[2] γενόμενοι, οὐ τὴν αὐτὴν γνώμην Λακεδαιμονίοις ἔχοντες· (οἱ μὲν γὰρ τῶν ἀγαθῶν αὐτοῖς[3] ἐφθόνουν, οἱ δὲ, ἀδικουμένους αὐτοὺς ἠλέουν, οὐ τῆς προτέρας ἔχθρας μεμνημένοι, ἀλλὰ τὴν παροῦσαν φιλίαν περὶ πολλοῦ ποιούμενοι[4].) πᾶσιν ἀνθρώποις φανερὰν τὴν αὐτῶν ἀρετὴν ἐπεδείξαντο. Ἐτόλμησαν γὰρ, μεγάλην ποιοῦντες τὴν Ἑλλάδα, οὐ μόνον ὑπὲρ τῆς αὐτῶν σωτηρίας κινδυνεύειν, ἀλλὰ καὶ ὑπὲρ τῆς τῶν πολεμίων ἐλευθερίας ἀποθνήσκειν. Τοῖς γὰρ Λακεδαιμονίων[5] συμμάχοις περὶ τῆς ἐκείνων ἐλευθερίας ἐμάχοντο. Νικήσαντες μὲν γὰρ,[6] ἐκείνους τῶν αὐτῶν ἠξίουν· δυστυχήσαντες δὲ, βέβαιον τὴν δουλείαν τοῖς ἐν τῇ Πελοποννήσῳ κατέλιπον. Ἐκείνοις μὲν[7] οὖν οὕτω διακειμένοις

---

ὧν καὶ ἐμαχέσαντο ἐν Πειραιεῖ. — 8. Καὶ τοὺς ξένους.) Τοὺς Θηβαίους δηλαδὴ τοὺς μετὰ Θρασυβούλου ἐνθάδε παραγενομένους, καὶ βοηθήσαντας κατὰ τῶν τριάκοντα τυράννων. — 9. Πατρίδα τὴν ἀρετήν.) Ἤγουν· ἡγησάμενοι ἐκεῖ εἶναι τὴν πατρίδα, ἔνθα ἐστὶ τόπος ἀρετὴν ἐπιδεικνῦναι. — 10. Ἔθαψε δημοσίᾳ.) Περὶ τοῦ ἐξαιρέτου τούτου ἔθους τῶν Ἀθηναίων καὶ τοῦ συγχωρεῖν δημοσίως θάπτειν τοὺς ξένους, πολλοὶ πολλὰ εἶπον καυχώμενοι. Ὅρα Σχολ. Ἀριστοφ. Ὄρνιθ. στίχ. 365. — 11. Τοῖς ἀστοῖς.) Τοῖς πολίταις Ἀθηναίοις.

§ 15. 2. Καινοὶ σύμμαχοι.) Οἱ μὲν γὰρ Λακεδαιμόνιοι παλαιοὶ ὄντες φίλοι Κορινθίοις, ἐν τῷδε τῷ πολέμῳ ἐχθροὶ ἐγένοντο. Ἀθηναῖοι δὲ παλαιοὶ ἐχθροὶ ὄντες αὐτῶν, νῦν σύμμαχοι ἐγένοντο, καὶ ἐβοήθησαν αὐτοῖς· ἀλλ' οὐκ ἔσχον τὴν αὐτὴν γνώμην οἱ ἡμέτεροι, σύμμαχοι γενόμενοι τοῖς Λακεδαιμονίοις συμμάχοις καὶ αὐτοῖς οὖσι. — 3. Αὐτοῖς.) Τοῖς Κορινθίοις. — 4. Περὶ πολλοῦ ποιούμενοι.) Προελόμενοι, προκρίνοντες καὶ τιμῶντες· ἔστι δὲ κατὰ περίφρασιν. — 5. Τοῖς γὰρ Λακεδαιμονίων.) Ἐμάχοντο γὰρ σὺν τοῖς συμμάχοις τῶν Λακεδαιμονίων ὑπὲρ τῆς ἐκείνων αὐτῶν τῶν συμ. — 6. Νικήσαντες μὲν γάρ.) Ὁπότε ἐνίκησαν τοὺς Λακεδαιμονίους, ἠξίουν τοὺς Κορινθίους τῶν αὐτῶν δικαίων, ἃ καὶ οἱ Ἀθηναῖοι εἶχον· ὕστερον δὲ νικηθέντες, κατέλιπον πᾶσαν τὴν Πελοπόννησον εἰς τὴν τῶν Λακεδαιμονίων δουλείαν· ἐν γὰρ τῷ Κορινθιακῷ πολέμῳ, πρῶτον μὲν ἐνίκησαν Ἀθηναῖοι Ἰφικράτους ἡγουμένου, καὶ ἠλευθέρωσαν τὴν Κόρινθον πολιορκουμένην ὑπὸ Λακεδαιμονίων· ὕστερον δὲ ἐνικήθησαν Ἀθηναῖοι· καὶ Λακεδαιμόνιοι πᾶσαν τὴν Πελοπόννησον ὑφ' αὐτοὺς ἐποιήσαντο καταδουλωσάμενοι. Ξενοφ. Ἑλλην. Βιβλ. Δ'. — 7. Ἐκείνοις μέν.) Τοῖς Πελοποννη-

ὁ βίος οἰκτρὸς, καὶ ὁ θάνατος εὐκτός· οὗτοι δὲ, καὶ ζῶντες καὶ ἀποθανόντες, ζηλωτοί· παιδευθέντες μὲν ἐν τοῖς τῶν προγόνων ἀγαθοῖς, ἄνδρες δὲ γενόμενοι, τήν τε ἐκείνων δόξαν διασώσαντες, καὶ τὴν αὑτῶν ἀρετὴν ἐπιδείξαντες. Πολλῶν μὲν γὰρ καὶ καλῶν αἴτιοι γεγένηνται τῇ ἑαυτῶν πατρίδι, ἐπηνώρθωσαν δὲ τὰ ὑφ᾽ ἑτέρων δυστυχηθέντα, πόῤῥω δ᾽ ἀπὸ τῆς αὑτῶν τὸν πόλεμον κατέστησαν. Ἐτελεύτησαν δὲ τὸν βίον, ὥσπερ χρὴ τοὺς ἀγαθοὺς ἀποθνήσκειν, τῇ μὲν πατρίδι τὰ τροφεῖα ἀποδόντες, τοῖς δὲ θρέψασι λύπας καταλιπόντες. Ὥστε ἄξιον τοῖς ζῶσι τούτους ποθεῖν, καὶ σφᾶς αὐτοὺς ὀλοφύρεσθαι, καὶ τοὺς προσήκοντας αὐτῶν[8] ἐλεεῖν τοῦ ἐπιλοίπου βίου.[9]

§ 16. Τίς γὰρ αὐτοῖς ἔτι ἡδονὴ καταλείπεται, τοιούτων ἀνδρῶν θαπτομένων, οἳ πάντα περὶ ἐλάττονος τῆς ἀρετῆς ἡγούμενοι,[2] αὐτοὺς μὲν ἀπεστέρησαν βίου, χήρας δὲ γυναῖκας ἐποίησαν; ὀρφανοὺς δὲ τοὺς αὐτῶν παῖδας ἀπέλιπον; ἐρήμους δ᾽ ἀδελφοὺς καὶ πατέρας καὶ μητέρας κατέστησαν; Πολλῶν δὲ καὶ δεινῶν ὑπαρχόντων, τοὺς μὲν παῖδας αὐτῶν ζηλῶ, ὅτι νεώτεροί εἰσιν, ἢ ὥστε εἰδέναι, οἵων πατέρων ἐστέρηνται· ἐξ ὧν δ᾽ οὗτοι[3] γεγόνασιν, οἰκτείρω, ὅτι πρεσβύτεροι, ἢ ὥστε ἐπιλαθέσθαι τῆς δυστυχίας τῆς ἑαυτῶν. Τί γὰρ ἂν τούτων ἀνιαρώτερον γένοιτο, ἢ τεκεῖν μὲν καὶ θρέψαι καὶ θάψαι τοὺς αὐτῶν, ἐν δὲ τῷ γήρᾳ ἀδυνάτους μὲν εἶναι τῷ σώματι, πασῶν δ᾽ ἀπεστερημένους τῶν ἐλπίδων, ἀφίλους καὶ ἀπόρους γεγονέναι; ὑπὸ δὲ τῶν αὐτῶν πρότερον ζηλοῦσθαι, καὶ νῦν ἐλεεῖσθαι; ποθεινότερον δ᾽ αὐτοῖς εἶναι τὸν θάνατον τοῦ βίου; Ὅσῳ γὰρ ἄνδρες ἀμείνους[4] ἦσαν, τοσούτῳ τοῖς καταλειπομένοις τὸ πένθος μεῖζον. Πῶς δ᾽ αὐτοὺς χρὴ λῆξαι τῆς λύπης; πότερον ἐν ταῖς τῆς πόλεως συμφοραῖς; Ἀλλὰ τότε[5] αὐτῶν εἰκὸς καὶ τοὺς ἄλλους μεμνῆσθαι. Ἀλλ᾽ ἐν ταῖς εὐτυχίαις ταῖς κοιναῖς; ἀλλ᾽ ἱκανὸν λυπῆσαι, τῶν μὲν σφετέρων τέκνων τετελευτηκότων, τῶν δὲ ζώντων ἀπολαυόντων τῆς τούτων ἀρετῆς. Ἀλλ᾽ ἐν τοῖς ἰδίοις κινδύνοις; ὅταν ὁρῶσι τοὺς μὲν πρότερον ὄντας φίλους, φεύγοντας τὴν αὐτῶν ἀπορίαν, τοὺς δ᾽ ἐχθροὺς, μέγα φρονοῦντας ἐπὶ ταῖς δυστυχίαις ταῖς τούτων; Μόνην δ᾽ ἂν μοι δοκοῦμεν ταύτην τοῖς ἐνθάδε κειμένοις ἀποδοῦναι χάριν, εἰ τοὺς μὲν τοκέας αὐτῶν ὁμοίως, ὥσπερ ἐκεῖνοι, περὶ πολλοῦ ποιοίμεθα,[6]

---

σίοις δηλ. — 8. Αὐτῶν.) Ἀντὶ αὐτοῖς κτητικῶς δὲ, ὡς οὐσιαστικοῦ ληφθέντος τοῦ Προσήκοντας. — 9. Τοῦ ἐπιλοίπου βίου.) Περὶ τοῦ ἐπιλ. ἢ ἕνεκεν τοῦ ἐπιλοίπου.

§ 16. 2. Περὶ ἐλάττονος τῆς ἀρετῆς ἡγούμενοι.) Ὑποδεέστερα δηλονότι πάντα τῆς ἀρετῆς ἡγοῦντο, παραβαλλόμενα αὐτῇ. — 3. Ἐξ ὧν δ᾽ οὗτοι.) Ἐκείνους, δὲ ἐξ ὧν οὗτοι· τοὺς γονεῖς δηλ. τὰ μὲν γὰρ τέκνα διὰ τὴν νηπιότητα ἀγνοοῦσιν οἵων πατέρων ἐστέρηνται. οἱ δὲ γονεῖς διὰ τὴν ἡλικίαν οὐ δύνανται ἐπιλαθέσθαι τῆς ἑαυτῶν δυστυχίας. — 4. Ἄνδρες ἀμείνους.) Οἱ ἐν Κορίνθῳ ἀποθανόντες. — 5. Ἀλλὰ τότε.) Εἰκός ἐστιν ἵνα καὶ οἱ ἄλλοι Ἀθηναῖοι μνησθῶσιν τῶν γονέων τῶν ἀποθανόντων· οἵων δηλαδὴ τέκνων ἐστέρηνται. — 6. Περὶ πολλοῦ ποιοίμεθα.) Τιμῶμεν, ἐπι-

τοὺς δὲ παῖδας οὕτως ἀσπαζοίμεθα, ὥσπερ αὐτοὶ πατέρες ὄντες· ταῖς δὲ γυναιξὶν εἰ τοιούτους βοηθοὺς ἡμᾶς αὐτοὺς παρέχοιμεν, οἷοί περ ἐκεῖνοι ζῶντες ἦσαν. Τίνας γὰρ ἂν εἰκότως μᾶλλον τιμῶμεν τῶν ἐνθάδε κειμένων; τίνας δ' ἂν τῶν ζώντων δικαιότερον περὶ πολλοῦ ποιοίμεθα, ἢ τοὺς τούτοις προσήκοντας; οἳ τῆς μὲν τούτων ἀρετῆς τὸ ἴσον τοῖς ἄλλοις ἀπέλαυσαν, ἀποθανόντων δὲ μόνοι γνησίως τῆς δυστυχίας μετέχουσιν.

§ 17. Ἀλλὰ γὰρ οὐκ οἶδ', ὅτι δεῖ τοιαῦτα ὀλοφύρεσθαι. Οὐ γὰρ ἐλανθάνομεν ἅπαξ ἡμᾶς αὐτοὶ ὄντες θνητοί· ὥστε τί δεῖ, ἃ πάλαι προσεδοκῶμεν πείσεσθαι, ὑπὲρ τούτων νῦν ἄχθεσθαι; ἢ λίαν οὕτω βαρέως φέρειν ἐπὶ ταῖς τῆς φύσεως συμφοραῖς, ἐπισταμένους, ὅτι ὁ θάνατος κοινὸς καὶ τοῖς χειρίστοις καὶ τοῖς βελτίστοις; οὔτε γὰρ τοὺς πονηροὺς ὑπερορᾷ, οὔτε τοὺς ἀγαθοὺς θαυμάζει, ἀλλ' ἴσον ἑαυτὸν παρέχει πᾶσιν. Εἰ μὲν γὰρ οἷόν τε ἦν[2] τοῖς τοὺς ἐν τῷ πολέμῳ κινδύνους διαφυγοῦσιν ἀθανάτους εἶναι[3] τὸν λοιπὸν χρόνον, ἄξιον ἦν τοῖς ζῶσι τὸν ἅπαντα χρόνον πενθεῖν τοὺς τεθνεῶτας. Νῦν δὲ ἥτε φύσις καὶ νόσων ἥττων καὶ γήρως, ὅ τε δαίμων ὁ τὴν ἡμετέραν μοῖραν εἰληχὼς ἀπαραίτητος. Ὥστε προσήκει τούτους εὐδαιμονεστάτους ἡγεῖσθαι, οἵτινες ὑπὲρ μεγίστων καὶ καλλίστων κινδυνεύοντες, οὕτως τὸν βίον ἐτελεύτησαν· οὐκ ἐπιτρέψαντες περὶ αὐτῶν τῇ τύχῃ, οὐδὲ ἀναμείναντες τὸν αὐτόματον θάνατον, ἀλλ' ἐκλεξάμενοι τὸν κάλλιστον. Καὶ γάρ τοι ἀγήρατοι μὲν αὐτῶν αἱ μνῆμαι, ζηλωταὶ δὲ [αὐτῶν] ὑπὸ πάντων ἀνθρώπων αἱ τιμαί· οἳ πενθοῦνται μὲν διὰ τὴν φύσιν ὡς θνητοί, ὑμνοῦνται δὲ ὡς ἀθάνατοι διὰ τὴν ἀρετήν. Καὶ γάρ τοι θάπτονται δημοσίᾳ, καὶ ἀγῶνες[4] τίθενται ἐπ' αὐτοῖς ῥώμης καὶ σοφίας καὶ πλούτου, ὡς ἀξίους ὄντας[5] τοὺς ἐν τῷ πολέμῳ τετελευτηκότας ταῖς αὐταῖς τιμαῖς καὶ τοὺς ἀθανάτους τιμᾶσθαι. Ἐγὼ μὲν οὖν αὐτοὺς καὶ μακαρίζω τοῦ θανάτου καὶ ζηλῶ, καὶ μόνοις τούτοις[6] ἀνθρώπων οἶμαι κρεῖττον

---

μελούμεθα, περιποιούμεθα· οἱ γὰρ Ἀθηναῖοι τοὺς τῶν ἐν πολέμῳ ἀποθνησκόντων καὶ γονεῖς, καὶ παῖδας, καὶ γυναῖκας ἐν μεγάλαις τιμαῖς εἶχον, καὶ δημοσίως ἔτρεφον.

§ 17. 2. Εἰ μὲν γὰρ οἷόν τε ἦν.) Ἐὰν ἦ δυνατόν. — 3. Ἀθανάτους εἶναι.) Τὸ ἐκ τρίτου τοῦ Εἶναι συμφωνεῖ τῷ ἐκ πρώτου, ἔστι δὲ καὶ κατ' αἰτιατικὴν διὰ τὴν φύσιν τοῦ ἀπαρεμφάτου λέγειν. — 4. Ἀγῶνες.) Γίνονται δὲ οἱ ἀγῶνες δι' ἐπίδειξιν ῥώμης μέν, τοῖς ἀγωνιζομένοις πάλῃ, ἢ πυγμῇ ἢ ἄλλῳ τινὶ ἀγῶνι· πλούτου δέ, τοῖς χορηγοῖς· οἱ τὰς ἐν τοῖς ἀγῶσι δαπάνας ἐποιοῦντο, φιλοτιμίας ἕνεκα ἰδίας· σοφίας δὲ τοῖς λέγουσιν· οἱ ἐπιταφίους, ἢ ἄλλους ἐποιοῦντο λόγους προτρεπτικούς, ἢ παραινετικούς· ἢ ποιήματα διεξιόντες ἢ μουσικήν, ὡς ἐν τοῖς θεάτροις. — 5. Ὡς ἀξίους ὄντας.) Ἀντὶ ὡς ἀξίων ὄντων τῶν . . . τετελευτηκότων· διὰ γὰρ τοῦ Ὡς ἔστιν εὑρεῖν τὴν ἀπόλυτον γενικὴν κατ' αἰτιατικὴν ἐν πολλοῖς· ὁ δέ τοι νοῦς τοιοῦτός ἐστιν· ὅτι εἰσὶν ἄξιοι οἱ ἐν πολέμῳ τετελευτηκότες καὶ οἱ ἀθάνατοι, ἵνα ταῖς αὐταῖς τιμῶνται τιμαῖς. — 6. Καὶ μόνοις τούτοις.) Καὶ οἶμαι ὅτι μόνοις τούτοις ἦν γενέσθαι κρεῖττον ἀνθρώπων, ἀνώτεροι δηλονότι τῆς τῶν ἀνθρώπων φύσεως.

εἶναι γενέσθαι, οἵτινες, ἐπειδὴ θνητῶν σωμάτων ἔτυχον, ἀθάνατον μνήμην διὰ τὴν ἀρετὴν αὑτῶν κατέλιπον. Ὅμως δ' ἀνάγκη τοῖς ἀρχαίοις ἔθεσι χρῆσθαι, καὶ θεραπεύοντας τὸν πάτριον νόμον, ὀλοφύρεσθαι τοὺς θαπτομένους.

---

# Γ'. Κατὰ Ἐρατοσθένους, τοῦ γενομένου τῶν τριάκοντα.

## Ὃν αὐτὸς εἶπε Λυσίας.

### Ὑπόθεσις.

Ἐρατοσθένης, εἷς ἦν τῶν τριάκοντα τυράννων· δικάζεται δὲ ὁ ῥήτωρ με[illegible] ὡς φονεύσαντος τὸν ἀδελφὸν Πολέμαρχον μετὰ τὸ ἀποκατασταθῆναι ἐν Ἀθήναις τὴν δημοκρατίαν ὑπὸ Θρασυβούλου τοὺς τυράννους ἐκβαλόντος· τοῦτον δὴ φασὶ τὸν λόγον αὐτὸν εἰρηκέναι Λυσίαν, καὶ πρῶτον δὲ εἰρηκέναι αὐτόν· ὅσους γὰρ συνετίθει ὑπὲρ ἑτέρων, ἐκεῖνοι ἔλεγον· τοῦτον δὲ οἰκείαν ὑπόθεσιν ἔχοντα αὐτὸν εἰπεῖν ἔδει.

§ 1. Οὐκ ἄρξασθαί μοι δοκεῖ ἄπορον εἶναι, ὦ ἄνδρες δικασταί, τῆς κατηγορίας, ἀλλὰ παύσασθαι λέγοντι. Τοιαῦτα αὐτοῖς[2] τὸ μέγεθος καὶ τοσαῦτα τὸ πλῆθος εἴργασται, ὥστε μήτ' ἂν ψευδόμενον δεινότερα τῶν ὑπαρχόντων κατηγορῆσαι, μήτε τἀληθῆ βουλόμενον εἰπεῖν, ἅπαντα δύνασθαι· ἀλλ' ἀνάγκη ἢ τὸν κατήγορον ἀπειπεῖν, ἢ τὸν χρόνον ἐπιλειπεῖν. Τοὐναντίον δέ μοι δοκοῦμεν πείσεσθαι ἢ ἐν τῷ πρὸ τοῦ χρόνῳ.[3] Πρότερον μὲν γὰρ ἔδει τὴν ἔχθραν τοὺς κατηγοροῦντας ἐπιδεῖξαι, ἥτις εἴη πρὸς τοὺς φεύγοντας·[4] νυνὶ δὲ παρὰ τῶν φευγόντων χρὴ πυνθάνεσθαι, ἥτις ἦν αὐτοῖς πρὸς τὴν πόλιν ἔχθρα, ἀνθ' ὅτου[5] τοιαῦτα ἐτόλμησαν εἰς αὐτὴν ἐξαμαρτάνειν. Οὐ μέντοι ὡς οὐκ ἔχων οἰκείας ἔχθρας καὶ συμφοράς, τοὺς λόγους ποιοῦμαι, ἀλλ' ὡς ἅπασι[6] πολλῆς ἀφθονίας οὔσης ὑπὲρ τῶν ἰδίων ἢ ὑπὲρ τῶν δημοσίων ὀργίζεσθαι.

---

§ 1. 2. Αὐτοῖς.) Τοῖς τριάκοντα δηλαδὴ τυράννοις. — 3. Ἢ ἐν τῷ πρὸ τοῦ χρόνῳ.) Ἢ ὅ,τι ἔπασχον οἱ ἄνθρωποι ἐν τῷ πρότερον χρόνῳ· τὸ Πρὸ τοῦ ἐστιν ἀντὶ τοῦ πρὸ τούτου, τοῦ χρόνου δηλ. καὶ διὰ τὸ ἐπίτομον λαμβάνεται ἐπιῤῥηματικῶς, ἀντὶ τοῦ Πρότερον· οὕτω δὲ καὶ πολλὰ ἄλλα ὀνόματά τε καὶ λόγοι ὅλοι, ὥσπερ ἐστὶ τὸ Τοῦτ' ἔστι τὸ ἐπίτομον διώκουσιν ὡς ἐπίῤῥημα λαμβάνεταί τε καὶ λέγεται. — 4. Πρὸς τοὺς φεύγοντας.) Διώκων μὲν λέγεται ὁ κατηγορῶν καὶ εἰς δικαστήριον ἄγων τὸν ἀντίδικον, φεύγων δὲ ὁ κατηγορούμενος καὶ εἰς κρίσιν ἀγόμενος· ἐκ μεταφορᾶς ληφθέντων τῶν διωκόντων καὶ φευγόντων τοὺς διώκοντας τῶν ὀνομάτων τούτων. — 5. Ἀνθ' ὅτου.) Ἀντὶ ἀνθ' ἧς τινος· ἐχρήσατο δὲ τῷ οὐδετέρῳ, διότι καὶ τὸ Ἔχθρα κατὰ φωνὴν μὲν ἐστὶ θηλυκόν, σημαινόμενον δ' ἔχει οὐδετέρου· πρὸς τὸ σημαινόμενον ἄρα ἀναφέρεται· κείσθω δέ τοι ἐννοούμενον, ἔργου, ἢ γεγονότος. — 6. Ἀλλ' ὡς ἅπασι) Ἀλλὰ ποιοῦμαι τοὺς λόγους, ἐπειδὴ ἅπασιν ἐστὶ πολλὴ ἀφθονία ὀργίζεσθαι ὁμοίως ὑπέρ τε τῶν ἰδίων καὶ δημοσίων κακῶν· τὸ γὰρ Οὐ μᾶλλον ἢ τὸ Ὁμοίως σημαίνει· ὁ δὴ

ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Σ. ΔΤΠ Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006